UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

B

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

# Β

*Τάδε καὶ ἡ β περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας*

Α *Περὶ τῆς μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ διαγωγῆς τῶν ἀποστόλων.*

Β *Ὅπως Τιβέριος ὑπὸ Πιλάτου τὰ περὶ τοῦ Χριστοῦ διδαχθεὶς ἐκινήθη.*

Γ *Ὅπως εἰς πάντα τὸν κόσμον ἐν βραχεῖ χρόνῳ διέδραμεν ὁ περὶ τοῦ Χριστοῦ λόγος.*

Δ *Ὡς μετὰ Τιβέριον Γάϊος Ἰουδαίων βασιλέα καθίστησιν Ἀγρίππαν, τὸν Ἡρῴδην ἀϊδίῳ ζημιώσας φυγῇ.*

Ε *Ὡς Φίλων ὑπὲρ Ἰουδαίων πρεσβείαν ἐστείλατο πρὸς Γάϊον.*

ς *Ὅσα Ἰουδαίοις συνερρύη κακὰ μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν.*

Ζ *Ὡς καὶ Πιλᾶτος ἑαυτὸν διεχρήσατο.*

Η *Περὶ τοῦ κατὰ Κλαύδιον λιμοῦ.*

Θ *Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου.*

Ι *Ὡς Ἀγρίππας ὁ καὶ Ἡρῴδης τοὺς ἀποστόλους διώξας τῆς θείας παραυτίκα δίκης ᾔσθετο.*

ΙΑ *Περὶ Θευδᾶ τοῦ γόητος.*

ΙΒ *Περὶ Ἑλένης τῆς τῶν Ἀδιαβηνῶν βασιλίδος.*

ΙΓ *Περὶ Σίμωνος τοῦ μάγου.*

ΙΔ *Περὶ τοῦ κατὰ Ῥώμην κηρύγματος Πέτρου τοῦ ἀποστόλου.*

ΙΕ *Περὶ τοῦ κατὰ Μάρκον εὐαγγελίου.*

Ις *Ὡς πρῶτος Μάρκος τοῖς κατ᾽ Αἴγυπτον τὴν εἰς τὸν Χριστὸν γνῶσιν ἐκήρυξεν.*

ΙΖ *Οἷα περὶ τῶν κατ᾽ Αἴγυπτον ἀσκητῶν ὁ Φίλων ἱστορεῖ.*

ΙΗ *Ὅσα τοῦ Φίλωνος εἰς ἡμᾶς περιῆλθεν συγγράμματα.*

ΙΘ *Οἷα τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους συμφορὰ μετῆλθεν ἐν τῇ τοῦ πάσχα ἡμέρᾳ.*

Κ *Οἷα καὶ κατὰ Νέρωνα ἐν τοῖς Ἱεροσολύμοις ἐπράχθη.*

ΚΑ Περὶ τοῦ Αἰγυπτίου, οὗ καὶ τῶν ἀποστόλων αἱ Πράξεις ἐμνημόνευσαν.
ΚΒ Ὡς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Ῥώμην δέσμιος ἀναπεμφθεὶς Παῦλος ἀπολογησάμενος πάσης ἀπελύθη αἰτίας.
ΚΓ Ὡς ἐμαρτύρησεν Ἰάκωβος ὁ τοῦ κυρίου χρηματίσας ἀδελφός.
ΚΔ Ὡς μετὰ Μάρκον πρῶτος ἐπίσκοπος τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀννιανὸς κατέστη.
ΚΕ Περὶ τοῦ κατὰ Νέρωνα διωγμοῦ, καθ' ὃν ἐπὶ Ῥώμης Παῦλος καὶ Πέτρος τοῖς ὑπὲρ εὐσεβείας μαρτυρίοις κατεκοσμήθησαν.
Κϛ Ὡς μυρίοις κακοῖς περιηλάθησαν Ἰουδαῖοι, καὶ ὡς τὸν ὕστατον πρὸς Ῥωμαίους ἤραντο πόλεμον.

Συνῆκται ἡμῖν ἡ βίβλος ἀπὸ τῶν Κλήμεντος Τερτυλλιανοῦ Ἰωσήπου Φίλωνος.

102 *Ὅσα μὲν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐχρῆν ὡς ἐν προοιμίῳ* 1
*διαστείλασθαι τῆς τε θεολογίας πέρι τοῦ σωτηρίου λόγου καὶ τῆς*
*ἀρχαιολογίας τῶν τῆς ἡμετέρας διδασκαλίας δογμάτων ἀρχαιότητός*
*τε τῆς κατὰ Χριστιανοὺς εὐαγγελικῆς πολιτείας, οὐ μὴν ἀλλὰ καὶ*
*ὅσα περὶ τῆς γενομένης ἔναγχος ἐπιφανείας αὐτοῦ, τά τε πρὸ τοῦ*
*πάθους καὶ τὰ περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς, ἐν τῷ πρὸ τού-*
*του, συντεμόντες τὰς ἀποδείξεις, διειλήφαμεν· φέρε δ᾽, ἐπὶ τοῦ παρ-* 2
*όντος ἤδη καὶ τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ διασκεψώμεθα, τὰ μὲν*
*ἐκ τῶν θείων παρασημαινόμενοι γραμμάτων, τὰ δ᾽ ἔξωθεν προσ-*
*ιστοροῦντες ἐξ ὧν κατὰ καιρὸν μνημονεύσομεν ὑπομνημάτων.*

*Πρῶτος τοιγαροῦν εἰς τὴν ἀποστολὴν ἀντὶ τοῦ προδότου Ἰούδα* A 1 1
*κληροῦται Ματθίας, εἷς καὶ αὐτός, ὡς δεδήλωται, τῶν τοῦ κυρίου*
*γενόμενος μαθητῶν. καθίστανται δὲ δι᾽ εὐχῆς καὶ χειρῶν ἐπι-*
*θέσεως τῶν ἀποστόλων εἰς διακονίαν ὑπηρεσίας ἕνεκα τοῦ κοινοῦ*
*ἄνδρες δεδοκιμασμένοι, τὸν ἀριθμὸν ἑπτά, οἱ ἀμφὶ τὸν Στέφανον·*
*ὃς καὶ πρῶτος μετὰ τὸν κύριον ἅμα τῇ χειροτονίᾳ, ὥσπερ εἰς αὐτὸ*
*τοῦτο προαχθείς, λίθοις εἰς θάνατον πρὸς τῶν κυριοκτόνων βάλλε-*
*ται, καὶ ταύτῃ πρῶτος τὸν αὐτῷ φερώνυμον τῶν ἀξιονίκων τοῦ*
*Χριστοῦ μαρτύρων ἀποφέρεται στέφανον. τότε δῆτα καὶ Ἰάκωβον,* 2
*τὸν τοῦ κυρίου λεγόμενον ἀδελφόν, ὅτι δὴ καὶ οὗτος τοῦ Ἰωσὴφ*
*ὠνόμαστο παῖς, τοῦ δὲ Χριστοῦ πατὴρ ὁ Ἰωσήφ, ᾧ μνηστευθεῖσα ἡ*
*παρθένος, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ*
*πνεύματος ἁγίου, ὡς ἡ ἱερὰ τῶν εὐαγγελίων διδάσκει γραφή· τοῦ-*

**12** 82, 5—8 — **13—15** Act. 6, 1—6 — **16—19** Act. 7, 58. 59 — **23** Matth. 1, 18

ATERBDMΣΔ

**4** *χριστιανοὺσ* $AT^1BDMΔ$ *τὸν χριστιανισμὸν* $T^cERΣ$ | **5** *πρὸ* $T^1BDM$ *περὶ* $AT^cERΣΔ$ | **12** *Ματθίας*] *Tolmai* Σ | **22** *εὑρέθη* BDM *ηὕρητο* ATER

104 τὸν δὴ οὖν αὐτὸν Ἰάκωβον, ὃν καὶ δίκαιον ἐπίκλην οἱ πάλαι δι᾽
ἀρετῆς ἐκάλουν προτερήματα, πρῶτον ἱστοροῦσιν τῆς ἐν Ἱεροσολύ-
μοις ἐκκλησίας τὸν τῆς ἐπισκοπῆς ἐγχειρισθῆναι θρόνον· Κλήμης ἐν 3
ἕκτῳ τῶν Ὑποτυπώσεων γράφων ὧδε παρίστησιν

»Πέτρον γάρ φησιν καὶ Ἰάκωβον καὶ Ἰωάννην μετὰ τὴν ἀνάληψιν
»τοῦ σωτῆρος, ὡς ἂν καὶ ὑπὸ τοῦ σωτῆρος προτετιμημένους, μὴ
»ἐπιδικάζεσθαι δόξης, ἀλλὰ Ἰάκωβον τὸν δίκαιον ἐπίσκοπον τῶν Ἱε-
»ροσολύμων ἑλέσθαι«.

ὁ δ᾽ αὐτὸς ἐν ἑβδόμῳ τῆς αὐτῆς ὑποθέσεως ἔτι καὶ ταῦτα περὶ 4
αὐτοῦ φησιν

»Ἰακώβῳ τῷ δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν ἀνάστασιν
»παρέδωκεν τὴν γνῶσιν ὁ κύριος, οὗτοι τοῖς λοιποῖς ἀποστόλοις
»παρέδωκαν, οἱ δὲ λοιποὶ ἀπόστολοι τοῖς ἑβδομήκοντα· ὧν εἷς ἦν
»καὶ Βαρναβᾶς. δύο δὲ γεγόνασιν Ἰάκωβοι, εἷς ὁ δίκαιος, ὁ κατὰ τοῦ 5
»πτερυγίου βληθεὶς καὶ ὑπὸ γναφέως ξύλῳ πληγεὶς εἰς θάνατον,
»ἕτερος δὲ ὁ καρατομηθείς«.

αὐτοῦ δὴ τοῦ δικαίου καὶ ὁ Παῦλος μνημονεύει γράφων »ἕτερον
»δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν
»τοῦ κυρίου«. ἐν τούτοις καὶ τὰ τῆς τοῦ σωτῆρος ἡμῶν πρὸς τὸν 6
τῶν Ὀσροηνῶν βασιλέα τέλος ἐλάμβανεν ὑποσχέσεως. ὁ γοῦν
Θωμᾶς τὸν Θαδδαῖον κινήσει θειοτέρᾳ ἐπὶ τὰ Ἔδεσσα κήρυκα καὶ
εὐαγγελιστὴν τῆς περὶ τοῦ Χριστοῦ διδασκαλίας ἐκπέμπει, ὡς ἀπὸ
τῆς εὑρεθείσης αὐτόθι γραφῆς μικρῷ πρόσθεν ἐδηλώσαμεν· ὃ δὲ 7
τοῖς τόποις ἐπιστάς, τόν τε Ἄβγαρον ἰᾶται τῷ Χριστοῦ λόγῳ καὶ
106 τοὺς αὐτόθι πάντας τοῖς τῶν θαυμάτων παραδόξοις ἐκπλήττει,
ἱκανῶς τε αὐτοὺς τοῖς ἔργοις διαθεὶς καὶ ἐπὶ σέβας ἀγαγὼν τῆς τοῦ
Χριστοῦ δυνάμεως, μαθητὰς τῆς σωτηρίου διδασκαλίας κατεστήσατο.

**5—8** Zahn, Forschungen 3, 73 — **11—16** Zahn, Forschungen 3, 75 — **17—19** Gal. 1, 19 — **23** 82, 21 ff.

ATERBDMΣΛ

**1** *οὖν* ATᶜERBD > T¹M | **2** *ἀρετῆσ ἐκάλουν* ABDM *ἀρετὴν ἐκάλουν καὶ* TER *uirtutum merito et insignis uitae priuilegio* Λ | **6** *σρσ*² BDMΣ *κυ* ATER *ab ipso* Λ | **7/8** *ἱεροσολύμων* ΠΣ *apostolorum* Λ | **21** *τὰ ἔδεσσα* ATBDʳM *τὰ αἴδεσσα* D¹ *τὴν ἔδεσσαν* T¹ übergeschr., R *τὴν ἔδεσαν* E, vgl. 84, 16

106 εἰς ἔτι τε νῦν ἐξ ἐκείνου ἡ πᾶσα τῶν Ἐδεσσηνῶν πόλις τῇ Χριστοῦ
προσανάκειται προσηγορίᾳ, οὐ τὸ τυχὸν ἐπιφερομένη δεῖγμα τῆς τοῦ
σωτῆρος ἡμῶν καὶ εἰς αὐτοὺς εὐεργεσίας. καὶ ταῦτα δ' ὡς ἐξ ἀρ- 8
χαίων ἱστορίας εἰρήσθω· μετίωμεν δ' αὖθις ἐπὶ τὴν θείαν γρα-
φήν. γενομένου δῆτα ἐπὶ τῇ τοῦ Στεφάνου μαρτυρίᾳ πρώτου καὶ
μεγίστου πρὸς αὐτῶν Ἰουδαίων κατὰ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας
διωγμοῦ πάντων τε τῶν μαθητῶν πλὴν ὅτι μόνων τῶν δώδεκα
ἀνὰ τὴν Ἰουδαίαν τε καὶ Σαμάρειαν διασπαρέντων, τινές, ᾗ φησιν ἡ
θεία γραφή, διελθόντες ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας,
οὔπω μὲν ἔθνεσιν οἷοί τε ἦσαν τοῦ τῆς πίστεως μεταδιδόναι λόγου
τολμᾶν, μόνοις δὲ τοῦτον Ἰουδαίοις κατήγγελλον. τηνικαῦτα καὶ 9
Παῦλος ἐλυμαίνετο εἰς ἔτι τότε τὴν ἐκκλησίαν, κατ' οἴκους τῶν
πιστῶν εἰσπορευόμενος σύρων τε ἄνδρας καὶ γυναῖκας καὶ εἰς φυ-
λακὴν παραδιδούς. ἀλλὰ καὶ Φίλιππος, εἷς τῶν ἅμα Στεφάνῳ 10
προχειρισθέντων εἰς τὴν διακονίαν, ἐν τοῖς διασπαρεῖσιν γενόμενος,
κάτεισιν εἰς τὴν Σαμάρειαν, θείας τε ἔμπλεως δυνάμεως κηρύττει
πρῶτος τοῖς αὐτόθι τὸν λόγον, τοσαύτη δ' αὐτῷ θεία συνήργει
χάρις, ὡς καὶ Σίμωνα τὸν μάγον μετὰ πλείστων ὅσων τοῖς αὐτοῦ
λόγοις ἑλχθῆναι. ἐπὶ τοσοῦτον δ' ὁ Σίμων βεβοημένος κατ' ἐκεῖνο 11
καιροῦ τῶν ἠπατημένων ἐκράτει γοητείᾳ, ὡς τὴν μεγάλην αὐτὸν
ἡγεῖσθαι εἶναι δύναμιν τοῦ θεοῦ. τότε δ' οὖν καὶ οὗτος τὰς ὑπὸ
τοῦ Φιλίππου δυνάμει θείᾳ τελουμένας καταπλαγεὶς παραδοξοποιίας,
108 ὑποδύεται καὶ μέχρι λουτροῦ τὴν εἰς Χριστὸν πίστιν καθυποκρίνε-
ται· ὃ καὶ θαυμάζειν ἄξιον εἰς δεῦρο γινόμενον πρὸς τῶν ἔτι καὶ 12
νῦν τὴν ἀπ' ἐκείνου μιαρωτάτην μετιόντων αἵρεσιν, οἳ τῇ τοῦ σφῶν
προπάτορος μεθόδῳ τὴν ἐκκλησίαν λοιμώδους καὶ ψωραλέας νόσου
δίκην ὑποδυόμενοι, τὰ μέγιστα λυμαίνονται τοὺς οἷς ἐναπομάξασθαι
οἷοί τε ἂν εἶεν τὸν ἐν αὐτοῖς ἀποκεκρυμμένον δυσαλθῆ καὶ χαλεπὸν

**8—11** Act. 8, 1 — **11—14** Act. 11, 19 — **14—17** Act. 8, 3 — **17**—S. 108, 2 Act. 8, 5—13 — **17. 18** Act. 6, 5

ATERBDMΣΛ

**6** δ' BD μὲν ATERM | **10** μόνων τῶν δώδεκα BDM τῶν δώδεκα μόνων ATER | **11** ᾗ ATrER ἡ T¹ ὡσ BDM | **16/17** καὶ²—παραδιδούς] παρεδίδου εἰσ φυλακήν MΛ | **19** ἔμπλεωσ TB γεγονὼσ ἔμπλεωσ TcmERDM ἔμπλεωσ ὢν A, ΣΛ ziehen θείας—δυνάμεως zum Vorhergehenden und stellen die Copulativpartikel vor κηρύττει | **21** ὅσων AM 4 Buchstaben ausradirt T ἑτέρων ἀνδρῶν TcERBD *mit vielen anderen* Σ | **22** ἑλχθῆναι A, E durch Rasur, RBD ἐλεγχθῆναι TE¹MΣ *consternaret* Λ

**1** εἰσ ATER εἰσ τὸν BD εἰστην M

108 ἰόν. ἤδη γέ τοι πλείους τούτων ἀπεώσθησαν, ὁποῖοί τινες
εἶεν τὴν μοχθηρίαν, ἁλόντες, ὥσπερ οὖν καὶ ὁ Σίμων αὐτὸς πρὸς
τοῦ Πέτρου καταφωραθεὶς ὃς ἦν, τὴν προσήκουσαν ἔτισεν τιμω-
ρίαν. ἀλλὰ γὰρ εἰς αὔξην ὁσημέραι προϊόντος τοῦ σωτηρίου κη- 13
ρύγματος, οἰκονομία τις ἦγεν ἀπὸ τῆς Αἰθιόπων γῆς τῆς αὐτόθι
βασιλίδος, κατά τι πάτριον ἔθος ὑπὸ γυναικὸς τοῦ ἔθνους εἰς ἔτι
νῦν βασιλευομένου, δυνάστην· ὃν πρῶτον ἐξ ἐθνῶν πρὸς τοῦ Φι-
λίππου δι' ἐπιφανείας τὰ τοῦ θείου λόγου ὄργια μετασχόντα τῶν
τε ἀνὰ τὴν οἰκουμένην πιστῶν ἀπαρχὴν γενόμενον, πρῶτον κατέχει
λόγος ἐπὶ τὴν πάτριον παλινοστήσαντα γῆν εὐαγγελίσασθαι τὴν τοῦ
τῶν ὅλων θεοῦ γνῶσιν καὶ τὴν ζωοποιὸν εἰς ἀνθρώπους τοῦ σω-
τῆρος ἡμῶν ἐπιδημίαν, ἔργῳ πληρωθείσης δι' αὐτοῦ τῆς ›Αἰθιοπία
›προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ‹ περιεχούσης προφητείας. ἐπὶ 14
τούτοις Παῦλος, τὸ τῆς ἐκλογῆς σκεῦος, οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι'
ἀνθρώπων, δι' ἀποκαλύψεως δ' αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ
πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀπόστολος ἀναδείκνυται,
δι' ὀπτασίας καὶ τῆς κατὰ τὴν ἀποκάλυψιν οὐρανίου φωνῆς ἀξιωθεὶς
τῆς κλήσεως.

Καὶ δὴ τῆς παραδόξου τοῦ σωτῆρος ἡμῶν ἀναστάσεώς τε καὶ B 2 1
εἰς οὐρανοὺς ἀναλήψεως τοῖς πλείστοις ἤδη περιβοήτου καθεστώσης,
παλαιοῦ κεκρατηκότος ἔθους τοῖς τῶν ἐθνῶν ἄρχουσι τὰ παρὰ
110 σφίσιν καινοτομούμενα τῷ τὴν βασίλειον ἀρχὴν ἐπικρατοῦντι ση-
μαίνειν, ὡς ἂν μηδὲν αὐτὸν διαδιδράσκοι τῶν γινομένων, τὰ περὶ
τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ εἰς πάντας
ἤδη καθ' ὅλης Παλαιστίνης βεβοημένα Πιλᾶτος Τιβερίῳ βασιλεῖ κοι-
νοῦται, τάς τε ἄλλας αὐτοῦ πυθόμενος τεραστίας καὶ ὡς ὅτι μετὰ 2

**8—10** Act. 8, 18—23 — **10—14** Act. 8, 26—38 — **18/19** Ps. 67, 32 — **20** Act. 9, 15 — **20—22** Gal. 1, 1 — **23/24** Act. 9, 3—6

**2—7** vgl. Tert. Apolog. 21

ATERBDMΣΛ

**8** *εἶεν* TERBDM *ἦσαν* A | **9** *ὃσ ἦν* A *ὅσην* TERBDM nicht übersetzt Σ **10** *αὔξην* A *αὔξησιν* TERBDM | **11** *ἀπὸ* T durch Ras. corr., ERBDM *καὶ ἀπὸ* AT¹ | **13** *δυνάστην* ΠΛ *εὐνοῦχον* Σ | *πρὸσ* TERBDM *ὑπὸ* A | **20/21** *δι' ἀνων* ΠΣ *δι' ἀνου* Λ | **21** *δι'—δ'*] *ἀλλὰ δι' ἀποκαλύψεωσ* M

**3** *ιυ* BDM *χυ* ATERΛ > Σ | **4** *ὅλησ* T¹BDM *ὅλησ τῆσ* ATᶜER | **4/5** *κοινοῦται* TERBDMΣΛ *κοινοῦται ὃσ* A [Zonar. 3, 11, 23] | **5** *τερ-αστίασ* TERBD *τεραστείασ* M *τερατείασ* A [Zonar. 3, 11, 24]

110 θάνατον ἐκ νεκρῶν ἀναστὰς ἤδη θεὸς εἶναι παρὰ τοῖς πολλοῖς πε-
πίστευτο. τὸν δὲ Τιβέριον ἀνενεγκεῖν ἐπὶ τὴν σύγκλητον ἐκείνην
τ' ἀπώσασθαί φασι τὸν λόγον, τῷ μὲν δοκεῖν, ὅτι μὴ πρότερον
αὐτὴ τοῦτο δοκιμάσασα ἦν, παλαιοῦ νόμου κεκρατηκότος μὴ ἄλλως
τινὰ παρὰ Ῥωμαίοις θεοποιεῖσθαι μὴ οὐχὶ ψήφῳ καὶ δόγματι συγ-
κλήτου, τῇ δ' ἀληθείᾳ, ὅτι μηδὲ τῆς ἐξ ἀνθρώπων ἐπικρίσεώς τε
καὶ συστάσεως ἡ σωτήριος τοῦ θείου κηρύγματος ἐδεῖτο διδασκαλία·
ταύτῃ δ' οὖν ἀπωσαμένης τὸν προσαγγελθέντα περὶ τοῦ σωτῆρος 3
ἡμῶν λόγον τῆς Ῥωμαίων βουλῆς, τὸν Τιβέριον ἣν καὶ πρότερον
εἶχεν γνώμην τηρήσαντα, μηδὲν ἄτοπον κατὰ τῆς τοῦ Χριστοῦ δι-
δασκαλίας ἐπινοῆσαι. ταῦτα Τερτυλλιανὸς τοὺς Ῥωμαίων νόμους 4
ἠκριβωκώς, ἀνὴρ τά τε ἄλλα ἔνδοξος καὶ τῶν μάλιστα ἐπὶ Ῥώμης
λαμπρῶν, ἐν τῇ γραφείσῃ μὲν αὐτῷ Ῥωμαίων φωνῇ, μεταβληθείσῃ
δ' ἐπὶ τὴν Ἑλλάδα γλῶτταν ὑπὲρ Χριστιανῶν ἀπολογίᾳ τίθησιν,
κατὰ λέξιν τοῦτον ἱστορῶν τὸν τρόπον

›ἵνα δὲ καὶ ἐκ τῆς γενέσεως διαλεχθῶμεν τῶν τοιούτων νόμων, 5
›παλαιὸν ἦν δόγμα μηδένα θεὸν ὑπὸ βασιλέως καθιεροῦσθαι, πρὶν
›ὑπὸ τῆς συγκλήτου δοκιμασθῆναι. Μάρκος Αἰμίλιος οὕτως περί
112 ›τινος εἰδώλου πεποίηκεν Ἀλβούρνου. καὶ τοῦτο ὑπὲρ τοῦ ἡμῶν
›λόγου πεποίηται, ὅτι παρ' ὑμῖν ἀνθρωπείᾳ δοκιμῇ ἡ θεότης δίδοται.
›ἐὰν μὴ ἀνθρώπῳ θεὸς ἀρέσῃ, θεὸς οὐ γίνεται· οὕτως κατά γε
›τοῦτο ἄνθρωπον θεῷ ἵλεω εἶναι προσῆκεν. Τιβέριος οὖν, ἐφ' οὗ 6
›τὸ τῶν Χριστιανῶν ὄνομα εἰς τὸν κόσμον εἰσελήλυθεν, ἀγγελθέντος
›αὐτῷ ἐκ Παλαιστίνης τοῦ δόγματος τούτου, ἔνθα πρῶτον ἤρξατο,
›τῇ συγκλήτῳ ἀνεκοινώσατο, δῆλος ὢν ἐκείνοις ὡς τῷ δόγματι
›ἀρέσκεται. ἡ δὲ σύγκλητος, ἐπεὶ οὐκ αὐτὴ δεδοκιμάκει, ἀπώσατο· ὁ
›δὲ ἐν τῇ αὐτοῦ ἀποφάσει ἔμεινεν, ἀπειλήσας θάνατον τοῖς τῶν
›Χριστιανῶν κατηγόροις,‹

**21**—S. 112, 10 Tert. Apolog. 5

ATERBDMΣΔ

**6** ἤδη θεὸσ εἶναι παρὰ τοῖσ πολλοῖσ BM θεὸσ εἶναι παρὰ τοῖσ πολλοῖσ D θεὸσ εἶναι παρὰ πολλοῖσ ἤδη ATER [θεὸς εἶναι παρὰ πλείστοις ἤδη Zon. 3, 11, 25/26] *a quam plurimis iam* Δ | **7** τὸν δὲ τιβέριον TERBDMΣΔ > A [Zonar. 3, 11, 26] | ἐπὶ τὴν σύγκλητον BDM μὲν τῇ συγκλήτω ATER [Zonar. 3, 11, 26] | **8** τ' AT[1]ER τε M δ' T[r]BDΣ | **13** ταύτῃ T durch Rasur ERBD[c]Δ ταύτησ AT[1]D[1]M [Zonar. 3, 12, 1] | **18** ῥωμαίων EBDM [Zonar. 3, 12, 8] τῇ ῥωμαίων ATR | **19** δ' BDM [Zonar. 3, 12, 8] δὲ καὶ ATER

**1/2** ἡμῶν λόγου ATER λόγου ἡμῶν BDM | **4** προσῆκεν BDM προσήκει ATER | **6** πρῶτον ABDM [Zonar. 3, 12, 14] πρώτωσ TR, aus πρῶτοσ corr. E[1]

112 τῆς οὐρανίου προνοίας κατ᾽ οἰκονομίαν τοῦτ᾽ αὐτῷ πρὸς νοῦν
βαλλομένης, ὡς ἂν ἀπαραποδίστως ἀρχὰς ἔχων ὁ τοῦ εὐαγγελίου
λόγος πανταχόσε γῆς διαδράμοι.

Οὕτω δῆτα οὐρανίῳ δυνάμει καὶ συνεργίᾳ ἀθρόως οἷά τις ἡλίου Γ 3 1
βολὴ τὴν σύμπασαν οἰκουμένην ὁ σωτήριος κατηύγαζε λόγος. αὐ-
τίκα ταῖς θείαις ἑπομένως γραφαῖς ἐπὶ ›πᾶσαν‹ προήει ›τὴν γῆν
ὁ φθόγγος‹ τῶν θεσπεσίων εὐαγγελιστῶν αὐτοῦ καὶ ἀποστόλων,
›καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν‹. καὶ 2
δῆτα ἀνὰ πάσας πόλεις τε καὶ κώμας, πληθυούσης ἅλωνος δίκην,
μυρίανδροι καὶ παμπληθεῖς ἀθρόως ἐκκλησίαι συνεστήκεσαν, οἵ τε
ἐκ προγόνων διαδοχῆς καὶ τῆς ἀνέκαθεν πλάνης παλαιᾷ νόσῳ δεισι-
δαιμονίας εἰδώλων τὰς ψυχὰς πεπεδημένοι, πρὸς τῆς τοῦ Χριστοῦ
δυνάμεως διὰ τῆς τῶν φοιτητῶν αὐτοῦ διδασκαλίας τε ὁμοῦ καὶ
παραδοξοποιίας ὥσπερ δεινῶν δεσποτῶν ἀπηλλαγμένοι εἱργμῶν τε
χαλεπωτάτων λύσιν εὑράμενοι, πάσης μὲν δαιμονικῆς κατέπτυον
πολυθεΐας, ἕνα δὲ μόνον εἶναι θεὸν ὡμολόγουν, τὸν τῶν συμπάντων
δημιουργόν, τοῦτόν τε αὐτὸν θεσμοῖς ἀληθοῦς εὐσεβείας δι᾽ ἐνθέου
καὶ σώφρονος θρησκείας τῆς ὑπὸ τοῦ σωτῆρος ἡμῶν τῷ τῶν ἀν-
θρώπων βίῳ κατασπαρείσης ἐγέραιρον. ἀλλὰ γὰρ τῆς χάριτος 3
ἤδη τῆς θείας καὶ ἐπὶ τὰ λοιπὰ χεομένης ἔθνη καὶ πρώτου μὲν
114 κατὰ τὴν Παλαιστίνων Καισάρειαν Κορνηλίου σὺν ὅλῳ τῷ οἴκῳ δι᾽
ἐπιφανείας θειοτέρας ὑπουργίας τε Πέτρου τὴν εἰς Χριστὸν πίστιν
καταδεξαμένου πλείστων τε καὶ ἄλλων ἐπ᾽ Ἀντιοχείας Ἑλλήνων, οἷς
οἱ κατὰ τὸν Στεφάνου διωγμὸν διασπαρέντες ἐκήρυξαν, ἀνθούσης
ἄρτι καὶ πληθυούσης τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας ἐν ταὐτῷ τε
ἐπιπαρόντων πλείστων ὅσων τῶν τε ἀπὸ Ἱεροσολύμων προφητῶν
καὶ σὺν αὐτοῖς Βαρναβᾶ καὶ Παύλου ἑτέρου τε πλήθους ἐπὶ τούτοις
ἀδελφῶν, ἡ Χριστιανῶν προσηγορία τότε πρῶτον αὐτόθι ὥσπερ
ἀπ᾽ εὐθαλοῦς καὶ γονίμου πηγῆς ἀναδίδοται. καὶ Ἄγαβος μέν, εἷς 4
τῶν συνόντων αὐτοῖς προφητῶν, περὶ τοῦ μέλλειν ἔσεσθαι λιμὸν
προθεσπίζει, Παῦλος δὲ καὶ Βαρναβᾶς ἐξυπηρετησόμενοι τῇ τῶν
ἀδελφῶν παραπέμπονται διακονίᾳ.

**16—18** Psalm 18, 5 — **19** vgl. Matth. 3, 12 Luc. 3, 17 — **30**—S. 114, 3 Act. 10

**3—12** Act. 11, 20—30

ATERBDMΣΛ

**17** *αὐτοῦ* BDM *τε αὐτοῦ* ATER | **19** *πάσασ* BDM *πάσασ τὰσ* ATER

**3/4** *οἷσ οἱ* ABDΣΛ *ὅσοι* TERM *γρ ὅσοι* Am | **9** *ἄγαβοσ* ΠΛ ארא Σ | **11** *προθεσπίζει* ATER *θεσπίζει* BDM | *δὲ* BDM *τε* ATER | *ἐξ ὑπηρετησάμενοι* MΣ | **12** *sanctorum* Λ

114 Τιβέριος μὲν οὖν ἀμφὶ τὰ δύο καὶ εἴκοσι βασιλεύσας ἔτη τελευτᾷ, Δ 4 1
μετὰ δὲ τοῦτον Γάϊος τὴν ἡγεμονίαν παραλαβών, αὐτίκα τῆς Ἰου-
δαίων ἀρχῆς Ἀγρίππᾳ τὸ διάδημα περιτίθησιν, βασιλέα καταστήσας
αὐτὸν τῆς τε Φιλίππου καὶ τῆς Λυσανίου τετραρχίας, πρὸς αἷς μετ᾽
οὐ πολὺν αὐτῷ χρόνον καὶ τὴν Ἡρῴδου τετραρχίαν παραδίδωσιν,
ἀϊδίῳ φυγῇ τὸν Ἡρῴδην (οὗτος δ᾽ ἦν ὁ κατὰ τὸ πάθος τοῦ σω-
τῆρος) σὺν καὶ τῇ γυναικὶ Ἡρῳδιάδι πλείστων ἕνεκα ζημιώσας αἰ-
τιῶν. μάρτυς Ἰώσηπος καὶ τούτων.

Κατὰ δὴ τοῦτον Φίλων ἐγνωρίζετο πλείστοις, ἀνὴρ οὐ μόνον E 2
τῶν ἡμετέρων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς ἔξωθεν ὁρμωμένων παιδείας
ἐπισημότατος. τὸ μὲν οὖν γένος ἀνέκαθεν Ἑβραῖος ἦν, τῶν δ᾽
ἐπ᾽ Ἀλεξανδρείας ἐν τέλει διαφανῶν οὐδενὸς χείρων, περὶ δὲ τὰ 3
θεῖα καὶ πάτρια μαθήματα ὅσον τε καὶ ὁπηλίκον εἰσενήνεκται πόνον,
ἔργῳ πᾶσι δῆλος, καὶ περὶ τὰ φιλόσοφα δὲ καὶ ἐλευθέρια τῆς ἔξωθεν
116 παιδείας οἷός τις ἦν, οὐδὲν δεῖ λέγειν, ὅτε μάλιστα τὴν κατὰ Πλά-
τωνα καὶ Πυθαγόραν ἐζηλωκὼς ἀγωγήν, διενεγκεῖν ἅπαντας τοὺς
καθ᾽ ἑαυτὸν ἱστορεῖται. καὶ δὴ τὰ κατὰ Γάϊον οὗτος Ἰουδαίοις 5 1
συμβάντα πέντε βιβλίοις παραδίδωσιν, ὁμοῦ τὴν Γαΐου διεξιὼν φρε-
νοβλάβειαν, ὡς θεὸν ἑαυτὸν ἀναγορεύσαντος καὶ μυρία περὶ τὴν
ἀρχὴν ἐνυβρικότος, τάς τε κατ᾽ αὐτὸν Ἰουδαίων ταλαιπωρίας καὶ ἣν
αὐτὸς στειλάμενος ἐπὶ τῆς Ῥωμαίων πόλεως ὑπὲρ τῶν κατὰ τὴν
Ἀλεξάνδρειαν ὁμοεθνῶν ἐποιήσατο πρεσβείαν, ὅπως τε ἐπὶ τοῦ
Γαΐου καταστὰς ὑπὲρ τῶν πατρίων νόμων, οὐδέν τι πλέον γέλωτος
καὶ διασυρμῶν ἀπηνέγκατο, μικροῦ δεῖν καὶ τὸν περὶ τῆς ζωῆς ἀνα-
τλὰς κίνδυνον. μέμνηται καὶ τούτων ὁ Ἰώσηπος, ἐν ὀκτωκαιδε- 2
κάτῳ τῆς Ἀρχαιολογίας κατὰ λέξιν ταῦτα γράφων

»καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε οἳ
»ἐνοικοῦσι, καὶ Ἑλλήνων, τρεῖς ἀφ᾽ ἑκατέρας τῆς στάσεως πρεσβευ-
»ταὶ αἱρεθέντες παρῆσαν πρὸς τὸν Γάϊον. καὶ ἦν γὰρ τῶν Ἀλεξαν- 3
»δρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφή-
»μησεν, ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν·
»πάντων γοῦν, ὅσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ

**13** Ios. A. I. 18, 224 B. I. 2, 180 — **20** A. I. 18, 237. 252. 255
**13**—S. 118, 6 Ios. A. I. 18, 257—260

ATERBDMΣΛ

**24** δὲ BDMΛ τε ER μὲν οὖν AT

**5** ὡσ BDM ὡσ ἂν ATER | **6** ἐνυβρικότοσ BDM ἐνυβρίσαντοσ ATE ὑβρί-σαντοσ R | **7** αὐτὸσ MΣΛ αὐτὸσ ὁ φίλων ATER αὐτὸσ φίλων BD | **11** καὶ TERBDMΣ δὲ καὶ AΛ | **15** πρὸσ A$T^1$M ὡσ $T^c$ERBD Ios

116 ›Γαΐῳ καὶ ναοὺς ἱδρυμένων τά τε ἄλλα ἐν πᾶσιν αὐτὸν ὥσπερ τοὺς
›θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν
›καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι· πολλὰ δὲ καὶ χαλεπὰ Ἀπί- 4
›ωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζεν τὸν Γάϊον καὶ εἰκὸς ἦν,
›Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα
›ἔνδοξος Ἀλεξάνδρου τε τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν καὶ φιλοσοφίας
118 ›οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων,
›διακλείει δ' αὐτὸν Γάϊος, κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής 5
›τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων
›ἔξεισι περιυβρισμένος, καί φησιν πρὸς τοὺς Ἰουδαίους οἳ περὶ αὐτὸν
›ἦσαν, ὡς χρὴ θαρρεῖν, Γαΐου μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη
›τὸν θεὸν ἀντιπαρεξάγοντος‹.

ταῦτα ὁ Ἰώσηπος. καὶ αὐτὸς δὲ ὁ Φίλων ἐν ᾗ συνέγραψεν 6
Πρεσβείᾳ τὰ κατὰ μέρος ἀκριβῶς τῶν τότε πραχθέντων αὐτῷ δηλοῖ,
ὧν τὰ πλεῖστα παρείς, ἐκεῖνα μόνα παραθήσομαι, δι' ὧν τοῖς ἐν-
τυγχάνουσι προφανὴς γενήσεται δήλωσις τῶν ἅμα τε καὶ οὐκ εἰς
μακρὸν τῶν κατὰ τοῦ Χριστοῦ τετολμημένων ἕνεκεν Ἰουδαίοις συμ-
βεβηκότων.

Πρῶτον δὴ οὖν κατὰ Τιβέριον ἐπὶ μὲν τῆς Ῥωμαίων πόλεως ς 7
ἱστορεῖ Σηιανόν, τῶν τότε παρὰ βασιλεῖ πολλὰ δυνάμενον, ἄρδην
τὸ πᾶν ἔθνος ἀπολέσθαι σπουδὴν εἰσαγηοχέναι, ἐπὶ δὲ τῆς Ἰουδαίας
Πιλᾶτον, καθ' ὃν τὰ περὶ τὸν σωτῆρα τετόλμητο, περὶ τὸ ἐν Ἱε-
ροσολύμοις ἔτι τότε συνεστὸς ἱερὸν ἐπιχειρήσαντά τι παρὰ τὸ Ἰου-
δαίοις ἐξόν, τὰ μέγιστα αὐτοὺς ἀναταράξαι. μετὰ δὲ τὴν Τιβερίου 6 1
τελευτὴν Γάϊον τὴν ἀρχὴν παρειληφότα, πολλὰ μὲν εἰς πολλοὺς καὶ
ἄλλα ἐνυβρίσαι, πάντων δὲ μάλιστα τὸ πᾶν Ἰουδαίων ἔθνος οὐ
σμικρὰ καταβλάψαι· ἃ καὶ ἐν βραχεῖ πάρεστιν διὰ τῶν αὐτοῦ κατα-
μαθεῖν φωνῶν, ἐν αἷς κατὰ λέξιν ταῦτα γράφει

7 — S. 120, 13 vgl. Phil. leg. ad Gai. 24. 38

ATERBDMΣΛ

**5** *γαιου ΠΣΛ γαίου λόγωι* Ios HSS | **8** *αὐτῶι*] *gegen sie* Σ | **14** *Seianus der Hyparch* Σ | *τῶν* AT$^1$R *τὸν* T$^r$EBDM | *πολλὰ* TERBDM *grosse Dinge* Σ *magni loci* Λ *τὰ μέγιστα* A | *δυνάμενον* T durch Rasur corr., ERBDMΣ *δυναμένων* AT$^1$ | **15** *ἀπολέσθαι* ATERM *ἀπολέσαι* BD, *αι* auf Rasur D, ΣΛ *σπουδὴν εἰσαγηοχέναι* T$^c$T$^r$E *σπουδὴν εἰσηγηοχέναι* AT$^1$ *σπουδὴν ἐνηνοχέναι* R *πεποιῆσθαι σπουδὴν* BDM *π* auf Rasur D$^1$ *γρ πεποιῆσθαι* T$^{cm}$ | **16** *τε-τόλμητο* T durch Rasur, ERBDM *τετόλμηται* AT$^1$ | **20** *ἐνυβρίσαι* AM *ἐνυ-βρίσαι μυρία* TERBD

120 »τοσαύτη μὲν οὖν τις ἡ τοῦ Γαΐου περὶ τὸ ἦθος ἦν ἀνωμαλία 2
»πρὸς ἅπαντας, διαφερόντως δὲ πρὸς τὸ Ἰουδαίων γένος, ᾧ χαλεπῶς
»ἀπεχθανόμενος τὰς μὲν ἐν ταῖς ἄλλαις πόλεσιν προσευχάς, ἀπὸ τῶν
»κατ᾽ Ἀλεξάνδρειαν ἀρξάμενος, σφετερίζεται, καταπλήσας εἰκόνων
»καὶ ἀνδριάντων τῆς ἰδίας μορφῆς, (ὁ γὰρ ἑτέρων ἀνατιθέντων
»ἐφιείς, αὐτὸς ἱδρύετο δυνάμει), τὸν δ᾽ ἐν τῇ ἱεροπόλει νεών, ὃς
»λοιπὸς ἦν ἄψαυστος, ἀσυλίας ἠξιωμένος τῆς πάσης, μεθηρμόζετο καὶ
»μετεσχημάτιζεν εἰς οἰκεῖον ἱερόν, ἵνα Διὸς Ἐπιφανοῦς Νέου χρηματίζῃ
»Γαΐου«.

μυρία μὲν οὖν ἄλλα δεινὰ καὶ πέρα πάσης διηγήσεως ὁ αὐτὸς 3
κατὰ τὴν Ἀλεξάνδρειαν συμβεβηκότα Ἰουδαίοις ἐπὶ τοῦ δηλου-
μένου ἐν δευτέρῳ συγγράμματι ὧν ἐπέγραψεν »Περὶ ἀρετῶν« ἱστο-
ρεῖ· συνᾴδει δ᾽ αὐτῷ καὶ ὁ Ἰώσηπος, ὁμοίως ἀπὸ τῶν Πιλάτου
χρόνων καὶ τῶν κατὰ τοῦ σωτῆρος τετολμημένων τὰς κατὰ παντὸς
τοῦ ἔθνους ἐνάρξασθαι σημαίνων συμφοράς. ἄκουε δ᾽ οὖν οἷα καὶ 4
οὗτος ἐν δευτέρῳ τοῦ Ἰουδαϊκοῦ πολέμου αὐταῖς συλλαβαῖς δηλοῖ
λέγων

»πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος
»νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος
»εἰκόνας· σημαῖαι καλοῦνται. τοῦτο μεθ᾽ ἡμέραν μεγίστην ταραχὴν
»ἤγειρεν τοῖς Ἰουδαίοις. οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν,
»ὡς πεπατημένων αὐτοῖς τῶν νόμων· οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ
»πόλει δείκηλον τίθεσθαι«.

ταῦτα δὲ συγκρίνας τῇ τῶν εὐαγγελίων γραφῇ, εἴσῃ ὡς οὐκ εἰς 5
μακρὸν αὐτοὺς μετῆλθεν ἣν ἔρρηξαν ἐπ᾽ αὐτοῦ Πιλάτου φωνήν, δι᾽
122 ἧς οὐκ ἄλλον ἢ μόνον ἔχειν ἐπεβόων Καίσαρα βασιλέα. εἶτα δὲ 6
καὶ ἄλλην ἑξῆς ὁ αὐτὸς συγγραφεὺς ἱστορεῖ μετελθεῖν αὐτοὺς συμ-
φορὰν ἐν τούτοις

**1—9** Philo leg. ad Gai. 43 — **18—23** Ioseph. B. I. 2, 169. 170
**1** Ioann. 19, 15

ATERBDMΣΔ

**6** *ἱεροπόλει* $T^1$ Philo *ἱεραπόλει* BDM *ἱερᾷ πόλει* $AT^c$ERΔΣ | **7** *λοιπὸσ* $AT^1$BDΔ Philo *λοιπὸν* $A^1$ corr., $B^1$ corr., $T^c$ERM nicht übersetzt Σ | **12** *ὧν* BD *ὦ* ATER, B corr., *ὃ* M *in secundo operis sui de uirtutibus libro* Δ | **21** *οἵ τε* TERBDM Ios *οἳ* A *τε* ist durch falsche Abgrenzung des Excerpts unverständlich geworden

122 ›μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸν θησαυρόν, κα-
›λεῖται δὲ κορβανας, εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων· κατήει δὲ
›ἀπὸ τριακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις
›ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα, περιστάντες ἅμα 7
›κατεβόων. ὁ δὲ προῄδει γὰρ αὐτῶν τὴν ταραχὴν καὶ τῷ πλήθει
›τοὺς στρατιώτας ἐνόπλους, ἐσθήσεσιν ἰδιωτικαῖς κεκαλυμμένους,
›ἐγκαταμίξας καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν
›τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος.
›τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δὲ
›ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο, πρὸς
›δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώ-
›πησεν‹.

ἐπὶ τούτοις μυρίας ἄλλας ἐν αὐτοῖς Ἱεροσολύμοις κεκινῆσθαι 8
νεωτεροποιίας ὁ αὐτὸς ἐμφαίνει, παριστὰς ὡς οὐδαμῶς ἐξ ἐκείνου
διέλιπον τήν τε πόλιν καὶ τὴν Ἰουδαίαν ἅπασαν στάσεις καὶ πόλεμοι
καὶ κακῶν ἐπάλληλοι μηχαναί, εἰς ὅτε τὸ πανύστατον ἡ κατὰ
Οὐεσπασιανὸν αὐτοὺς μετῆλθεν πολιορκία. Ἰουδαίους μὲν οὖν ὧν
κατὰ τοῦ Χριστοῦ τετολμήκασιν, ταύτῃ πῃ τὰ ἐκ τῆς θείας μετῄει
δίκης·

οὐκ ἀγνοεῖν δὲ ἄξιον ὡς καὶ αὐτὸν ἐκεῖνον τὸν ἐπὶ τοῦ σωτῆρος Z 7
Πιλᾶτον κατὰ Γάϊον, οὗ τοὺς χρόνους διέξιμεν, τοσαύταις περι-
πεσεῖν κατέχει λόγος συμφοραῖς, ὡς ἐξ ἀνάγκης αὐτοφονευτὴν ἑαυ-
τοῦ καὶ τιμωρὸν αὐτόχειρα γενέσθαι, τῆς θείας, ὡς ἔοικεν, δίκης
124 οὐκ εἰς μακρὸν αὐτὸν μετελθούσης. ἱστοροῦσιν Ἑλλήνων οἱ τὰς
Ὀλυμπιάδας ἅμα τοῖς κατὰ χρόνους πεπραγμένοις ἀναγράψαντες.

Ἀλλὰ γὰρ Γάϊον οὐδ' ὅλοις τέτταρσιν ἔτεσιν τὴν ἀρχὴν κατα- H 8 1
σχόντα Κλαύδιος αὐτοκράτωρ διαδέχεται· καθ' ὃν λιμοῦ τὴν οἰκου-
μένην πιέσαντος (τοῦτο δὲ καὶ οἱ πόρρω τοῦ καθ' ἡμᾶς λόγου
συγγραφεῖς ταῖς αὐτῶν ἱστορίαις παρέδοσαν), ἡ κατὰ τὰς Πράξεις
τῶν ἀποστόλων Ἀγάβου προφήτου περὶ τοῦ μέλλειν ἔσεσθαι λιμὸν
ἐφ' ὅλην τὴν οἰκουμένην πέρας ἐλάμβανεν πρόρρησις. τὸν δὲ 2

**4—15** Ioseph. B. I. 2, 175—177

**3/4** vgl. Ios. A. I. 19, 201 B. I. 2, 204 — **4—8** Act. 11, 28

ATERBDMΣΛ

**7** *ἅμα* BD *τόλμαν* AT[1] *audent adire eum et clamoribus fatigare* Λ (*sie standen gegen ihn*) *und waren frech und schrien* Σ *τὸ βῆμα* T^c^ERM Ios | **8** *καὶ τῷ* TERBDM *τῷ* A (wie Ios schrieb) beides Ios HSS

**7** *Ἀγάβου*] ארא Σ

124 κατὰ Κλαύδιον λιμὸν ἐπισημηνάμενος ἐν ταῖς Πράξεσιν ὁ Λουκᾶς ἱστορήσας τε ὡς ἄρα διὰ Παύλου καὶ Βαρναβᾶ οἱ κατὰ Ἀντιόχειαν ἀδελφοὶ τοῖς κατὰ τὴν Ἰουδαίαν ἐξ ὧν ἕκαστος ηὐπόρει διαπεμψάμενοι εἴησαν, ἐπιφέρει λέγων·

»κατ' ἐκεῖνον δὲ τὸν καιρόν, δῆλον δ' ὅτι τὸν ἐπὶ Κλαυδίου, θ 9 1 »ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας »τῶν ἀπὸ τῆς ἐκκλησίας, ἀνεῖλεν δὲ Ἰάκωβον τὸν ἀδελφὸν »Ἰωάννου μαχαίρᾳ«. περὶ τούτου δ' ὁ Κλήμης τοῦ Ἰακώβου 2 καὶ ἱστορίαν μνήμης ἀξίαν ἐν τῇ τῶν Ὑποτυπώσεων ἑβδόμῃ παρατίθεται ὡς ἂν ἐκ παραδόσεως τῶν πρὸ αὐτοῦ, φάσκων ὅτι δὴ ὁ εἰσαγαγὼν αὐτὸν εἰς δικαστήριον, μαρτυρήσαντα αὐτὸν ἰδὼν κινηθείς, ὡμολόγησεν εἶναι καὶ αὐτὸς ἑαυτὸν Χριστιανόν.

»συναπήχθησαν οὖν ἄμφω«, φησίν, »καὶ κατὰ τὴν ὁδὸν ἠξίωσεν 3 »ἀφεθῆναι αὐτῷ ὑπὸ τοῦ Ἰακώβου· ὁ δὲ ὀλίγον σκεψάμενος, »εἰρήνη »σοι« εἶπεν καὶ κατεφίλησεν αὐτόν. καὶ οὕτως ἀμφότεροι ὁμοῦ »ἐκαρατομήθησαν«.

τότε δῆτα, ὥς φησιν ἡ θεία γραφή, ἰδὼν Ἡρῴδης ἐπὶ τῇ 4
126 τοῦ Ἰακώβου ἀναιρέσει πρὸς ἡδονῆς γεγονὸς τὸ πραχθὲν τοῖς Ἰουδαίοις, ἐπιτίθεται καὶ Πέτρῳ, δεσμοῖς τε αὐτὸν παραδούς, ὅσον οὔπω καὶ τὸν κατ' αὐτοῦ φόνον ἐνήργησεν ἄν, εἰ μὴ διὰ θείας ἐπιφανείας, ἐπιστάντος αὐτῷ νύκτωρ ἀγγέλου, παραδόξως τῶν εἱργμῶν ἀπαλλαγείς, ἐπὶ τὴν τοῦ κηρύγματος ἀφεῖται διακονίαν. καὶ τὰ μὲν κατὰ Πέτρον οὕτως εἶχεν οἰκονομίας·

τὰ δέ γε τῆς κατὰ τῶν ἀποστόλων ἐγχειρήσεως τοῦ βασιλέως Ι 10 1 οὐκέτ' ἀναβολῆς εἴχετο, ἅμα γέ τοι αὐτὸν ὁ τῆς θείας δίκης τιμω-

**10—12** Act. 11, 29. 30 — **13—16** Act. 12, 1. 2 — **14—24** Georgios Synk. 633, 11—18 — **16—24** Zahn, Forschungen 3, 76 — **25**—S. 126, 5 Act. 12. 3—17

ATERBDMΣΔ

**11** *sanctis habitantibus Hierusolyma* Δ | **12** εἴησαν DM ἤιεισαν ἤιει auf Rasur B ἦσαν ATER | **13** δ' T¹BDΣ > ATᶜERM | **19** μαρτυρήσαντα BDM Synk Σ μαρτυρήσοντα ATERΔ | αὐτὸν ἰδὼν BDM ἰδὼν αὐτὸν ATER ἰδὼν αὐτὸν μαρτυρήσαντα Synk | **23** ὁμοῦ RBDM Synk ΣΔ > ATE | **25** τότε δῆτα BDM τὸ τηνικαῦτα δὲ ATER

**1** πρὸσ ἡδονῆσ γεγονὸσ D πρὸσ ἡδονὴν γεγονὸσ B πρὸσ ἡδονῆσ γενόμενον M ὅτι δὴ πρὸσ ἡδονῆσ εἴη ATE ὅτι πρὸσ ἡδονῆσ εἴη R | **5** ἀφεῖται ATEMBDΣΔ ἀφῖκται Tᶜᵐ, E¹ durch Correctur, R | **8** ἅμα BDM ἀλλά ATER

UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

126 ρὸς διάκονος μετῄει, παραυτίκα μετὰ τὴν τῶν ἀποστόλων ἐπιβουλήν,
ὡς ἡ τῶν Πράξεων ἱστορεῖ γραφή, ὁρμήσαντα μὲν ἐπὶ τὴν Καισά-
ρειαν, ἐν ἐπισήμῳ δ᾿ ἐνταῦθα ἑορτῆς ἡμέρᾳ λαμπρᾷ καὶ βασιλικῇ
κοσμησάμενον ἐσθῆτι ὑψηλόν τε πρὸ βήματος δημηγορήσαντα· τοῦ
γάρ τοι δήμου παντὸς ἐπευφημήσαντος ἐπὶ τῇ δημηγορίᾳ ὡς ἐπὶ
θεοῦ φωνῇ καὶ οὐκ ἀνθρώπου, παραχρῆμα τὸ λόγιον πατάξαι αὐτὸν
ἄγγελον κυρίου ἱστορεῖ, γενόμενόν τε σκωληκόβρωτον ἐκψῦξαι. θαυ- 2
μάσαι δ᾿ ἄξιον τῆς περὶ τὴν θείαν γραφὴν καὶ ἐν τῷδε τῷ παρα-
δόξῳ συμφωνίας τὴν τοῦ Ἰωσήπου ἱστορίαν, καθ᾿ ἣν ἐπιμαρτυρῶν
τῇ ἀληθείᾳ δῆλός ἐστιν, ἐν τόμῳ τῆς Ἀρχαιολογίας ἐννεακαιδεκάτῳ,
ἔνθα αὐτοῖς γράμμασιν ὧδέ πως τὸ θαῦμα διηγεῖται

»τρίτον δ᾿ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πεπλήρωτο, 3
»καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ τὸ πρότερον Στράτωνος πύργος
»ἐκαλεῖτο. συνετέλει δ᾿ ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμήν,
»ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος, καὶ
»παρ᾿ αὐτὴν ἤθροιστο τῶν κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβε-
»βηκότων εἰς ἀξίαν πλῆθος. δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ στολὴν 4
»ἐνδυσάμενος ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν
128 »εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. ἔνθα ταῖς πρώ-
»ταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθείς,
»θαυμασίως ἀπέστιλβεν, μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν
»ἀτενίζουσι φρικῶδες. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲν ἐκείνῳ πρὸς 5
»ἀγαθοῦ ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν προσαγορεύοντες »εὐ-
»μενής« τε »εἴης« ἐπιλέγοντες, »εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφο-
»βήθημεν, ἀλλὰ τοὐντεῦθεν κρείττονά σε θνητῆς φύσεως ὁμολογοῦ-
»μεν«. οὐκ ἐπέπληξεν τούτοις ὁ βασιλεὺς οὐδὲ τὴν κολακείαν 6
»ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας δὲ μετ᾿ ὀλίγον, τῆς ἑαυτοῦ κε-
»φαλῆς ὑπερκαθεζόμενον εἶδεν ἄγγελον. τοῦτον εὐθὺς ἐνόησεν κακῶν
»εἶναι αἴτιον, τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον

**9—15** Act. 12, 19. 21—23 — **20**—S. 130, 10 Ioseph. A. I. 19, 343—351
**11** vgl. A. I. 18, 195 ff.

ATERBDMΣΛ

**13** *ἐπὶ τῇ* BDM *τῇ* ATER | **26** *auro argentoque Λ*

**4** *οὐδὲν* ARB[1] *οὐδ᾿* TE, B durch Rasur, DM *οὐδὲ* Ios HSS | **9** aus *ἀπε-ρίψατο* corr. E[1] *ἀπετρέψατο* M *exhorruit Λ* | *ὀλίγον τῆσ* AT[1]BDMΣΛ *ὀλίγον τὸν βουβῶνα τῆσ* T[cm]ER Ios | **10** *ἄγγελον* AT[1]BDMΣΛ *ἐπὶ σχοινίου τινοσ· ἄγγελον* T[c]ER beides Ios HSS | **11** *αἴτιον* AT[1]BDMΣΛ > ER ausradirt T anradirt B (*εἶναι*) und (*εἶναι*) *αἴτιον* Ios HSS

128 ›ἔσχεν ὀδύνην, ἄθρουν δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα, 7
›μετὰ σφοδρότητος ἀρξάμενον. ἀναθεωρῶν οὖν πρὸς τοὺς φίλους,
›»ὁ θεὸς ὑμῖν ἐγώ«, φησίν, »ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον,
›παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς
›ἐλεγχούσης. ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν, ἤδη θανεῖν ἀπάγομαι.
›δεκτέον δὲ τὴν πεπρωμένην, ᾗ θεὸς βεβούληται. καὶ γὰρ βεβιώ-
›καμεν οὐδαμῇ φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης μακρότητος«.
›ταῦτα δὲ λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο· μετὰ σπουδῆς 8
›οὖν εἰς τὸ βασίλειον ἐκομίσθη, καὶ διῇξε λόγος εἰς πάντας ὡς ἔχοι
›τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγον. ἡ πληθὺς δ' αὐτίκα σὺν
›γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκον καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν
130 ›θεὸν ἱκέτευον ὑπὲρ τοῦ βασιλέως, οἰμωγῆς τε πάντ' ἦν ἀνάπλεα
›καὶ θρήνων. ἐν ὑψηλῷ δ' ὁ βασιλεὺς δωματίῳ κατακείμενος καὶ
›κάτω βλέπων αὐτοὺς πρηνεῖς προπίπτοντας, ἄδακρυς οὐδ' αὐτὸς
›ἔμενεν. συνεχεῖς δ' ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι 9
›διεργασθείς, τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν
›ἔτος καὶ τέταρτον, τῆς δὲ βασιλείας ἕβδομον. τέσσαρας μὲν οὖν
›ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν ἐνιαυτούς, τῆς Φιλίππου μὲν τε-
›τραρχίας εἰς τριετίαν ἄρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρῴδου
›προσειληφώς, τρεῖς δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρα-
›τορίας‹.

ταῦτα τὸν Ἰώσηπον μετὰ τῶν ἄλλων ταῖς θείαις συναληθεύ- 10
οντα γραφαῖς ἀποθαυμάζω· εἰ δὲ περὶ τὴν τοῦ βασιλέως προση-
γορίαν δόξειέν τισιν διαφωνεῖν, ἀλλ' ὅ γε χρόνος καὶ ἡ πρᾶξις τὸν
αὐτὸν ὄντα δείκνυσιν, ἤτοι κατά τι σφάλμα γραφικὸν ἐνηλλαγμένου
τοῦ ὀνόματος ἢ καὶ διωνυμίας περὶ τὸν αὐτόν, οἷα καὶ περὶ πολλούς,
γεγενημένης.

Ἐπεὶ δὲ πάλιν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν εἰσάγει τὸν Γαμαλιὴλ ΙΑ 11 1
ἐν τῇ περὶ τῶν ἀποστόλων σκέψει λέγοντα ὡς ἄρα κατὰ τὸν δη-
λούμενον χρόνον ἀνέστη Θευδᾶς λέγων ἑαυτὸν εἶναι τινά, ὃς κατε-

**17—20** Act. 5, 34—36

ATERBDMΣΛ

**18** *μακρότητοσ* $T^1$Λ (*auf Hoffnung*) *langer Seligkeit* Σ *μακαριότητοσ* ABDM *λαμπρότητοσ* $T^r$ER Ios *γρ λαμπρότητοσ* $T^{cm}$ *ἀκρότητος* vermutet für Ios Keil | **22** *σάκκον* $AT^1$RBDM *σάκκου* T durch Rasur, E *σάκκων* (wie Ios schrieb) ΣΛ *σάκκων σάκκον σάκκου* Ios HSS

**3** *προπίπτοντασ* $TER^1$DM *προσπίπτοντασ* $AR^c$B *καταπίπτοντασ* und *προσπίπτοντασ* Ios HSS | **4** *συνεχεῖσ* $T^1$BΛ *συνεχῶσ* $AT^c$ERDM beides Ios HSS

130 λύθη, καὶ πάντες ὅσοι ἐπείσθησαν αὐτῷ, διελύθησαν· φέρε, καὶ τὴν
περὶ τούτου παραθώμεθα τοῦ Ἰωσήπου γραφήν. ἱστορεῖ τοίνυν
αὖθις κατὰ τὸν ἀρτίως δεδηλωμένον αὐτοῦ λόγον αὐτὰ δὴ ταῦτα
κατὰ λέξιν

›Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος, γόης τις ἀνήρ, Θευδᾶς 2
›ὀνόματι, πείθει τὸν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις ἕπεσθαι
›πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ· προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ
›προστάγματι τὸν ποταμὸν σχίσας δίοδον ἔφη παρέξειν αὐτοῖς ῥᾳ-
›δίαν, καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν. οὐ μὴν εἴασεν αὐτοὺς 3
›τῆς ἀφροσύνης ὀνάσθαι Φάδος, ἀλλ' ἐξέπεμψεν ἴλην ἱππέων ἐπ'
132 ›αὐτούς, ἥτις ἐπιπεσοῦσα ἀπροσδοκήτως αὐτοῖς, πολλοὺς μὲν ἀνεῖλεν,
›πολλοὺς δὲ ζῶντας ἔλαβεν, αὐτόν τε τὸν Θευδᾶν ζωγρήσαντες ἀπο-
›τέμνουσιν τὴν κεφαλὴν καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα‹.

τούτοις ἑξῆς καὶ τοῦ κατὰ Κλαύδιον γενομένου λιμοῦ μνημονεύει
ὧδέ πως·

›Ἐπὶ τούτοις γε καὶ τὸν μέγαν λιμὸν κατὰ τὴν Ἰουδαίαν συνέβη ΙΒ 12 1
›γενέσθαι, καθ' ὃν καὶ ἡ βασίλισσα Ἑλένη πολλῶν χρημάτων ὠνησα-
›μένη σῖτον ἀπὸ τῆς Αἰγύπτου, διένειμεν τοῖς ἀπορουμένοις‹.

σύμφωνα δ' ἂν εὕροις καὶ ταῦτα τῇ τῶν Πράξεων τῶν ἀποστό- 2
λων γραφῇ, περιεχούσῃ ὡς ἄρα τῶν κατ' Ἀντιόχειαν μαθητῶν καθὼς
ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος εἰς διακονίαν ἀποστεῖλαι τοῖς κατοι-
κοῦσιν ἐν τῇ Ἰουδαίᾳ· ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς
πρεσβυτέρους διὰ χειρὸς Βαρναβᾶ καὶ Παύλου. τῆς γέ τοι Ἑλένης, 3
ἧς δὴ καὶ ὁ συγγραφεὺς ἐποιήσατο μνήμην, εἰς ἔτι νῦν στῆλαι δια-

**24**—S. 132, 3 Ioseph. A. I. 20, 97. 98
**6—8** Ioseph. A. I. 20, 101 — **10—13** Act. 11, 29. 30

ATERBDMΣΛ
**20** *ἐπείσθησαν* ATER *ἐπείθοντο* BDM
**1** *ἐπιπεσοῦσα ἀπροσδοκήτωσ αὐτοῖσ* BD *wie sie es nicht dachten, standen sie über ihnen* Σ *ex improuiso irruens super eos* Λ *ἀπροσδοκήτωσ ἐπιπεσοῦσα* M *ἀπροσδόκητοσ ἐπιπεποῦσα* ATE, R *o* auf Rasur, Ios | **4** *γενομένου λιμοῦ* BDM *λιμοῦ γενομένου* ATER | **6** *γε* ATERB übergeschrieben D[1] > M *δὲ* und *γὰρ* Ios HSS | **12** *ἰουδαία* ARBD *ἰουδαία ἀδελφοῖσ* Tr *ἀδελφοῖσ* auf Rasur, EM *den Armen welche in Jerusalem wohnten* Σ *sanctis habitantibus in Iudaeam* Λ

132 φανεὶς ἐν προαστείοις δείκνυνται τῆς νῦν Αἰλίας· τοῦ δὲ Ἀδιαβηνῶν ἔθνους αὕτη βασιλεῦσαι ἐλέγετο.

Ἀλλὰ γὰρ τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς πάντας ἀνθρώπους ἤδη διαδιδομένης πίστεως, ὁ τῆς ἀνθρώπων πολέμιος σωτηρίας τὴν βασιλεύουσαν προαρπάσασθαι πόλιν μηχανώμενος, ἐνταῦθα Σίμωνα τὸν πρόσθεν δεδηλωμένον ἄγει, καὶ δὴ ταῖς ἐντέχνοις τἀνδρὸς συναιρόμενος γοητείαις πλείους τῶν τὴν Ῥώμην ΙΓ 13 1
134 οἰκούντων ἐπὶ τὴν πλάνην σφετερίζεται. δηλοῖ δὲ τοῦθ' ὁ μετ' οὐ πολὺ τῶν ἀποστόλων ἐν τῷ καθ' ἡμᾶς διαπρέψας λόγῳ Ἰουστῖνος, περὶ οὗ τὰ προσήκοντα κατὰ καιρὸν παραθήσομαι· ὃς δὴ ἐν τῇ προτέρᾳ πρὸς Ἀντωνῖνον ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος ἀπολογίᾳ γράφων ὧδέ φησιν 2

»καὶ μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου εἰς οὐρανὸν προεβάλλοντο 3
»οἱ δαίμονες ἀνθρώπους τινὰς λέγοντας ἑαυτοὺς εἶναι θεούς, οἳ οὐ »μόνον οὐκ ἐδιώχθησαν ὑφ' ὑμῶν, ἀλλὰ καὶ τιμῶν ἠξιώθησαν· Σί»μωνα μέν τινα Σαμαρέα, τὸν ἀπὸ κώμης λεγομένης Γίτθων, ὃς ἐπὶ »Κλαυδίου Καίσαρος διὰ τῆς τῶν ἐνεργούντων δαιμόνων τέχνης »δυνάμεις μαγικὰς ποιήσας ἐν τῇ πόλει ὑμῶν τῇ βασιλίδι Ῥώμῃ »θεὸς ἐνομίσθη καὶ ἀνδριάντι παρ' ὑμῶν ὡς θεὸς τετίμηται ἐν τῷ »Τίβερι ποταμῷ μεταξὺ τῶν δύο γεφυρῶν, ἔχων ἐπιγραφὴν Ῥωμαϊκὴν »ταύτην· SIMONI DEO SANCTO‹, ὅπερ ἐστὶν Σίμωνι θεῷ ἁγίῳ.
»καὶ σχεδὸν μὲν πάντες Σαμαρεῖς, ὀλίγοι δὲ καὶ ἐν ἄλλοις ἔθνεσιν 4
»ὡς τὸν πρῶτον θεὸν ἐκεῖνον ὁμολογοῦντες προσκυνοῦσιν. καὶ

**20** 106, 21 ff.

**5—18** Iustin. Apol. 1, 26. Georg. Synk. 630, 15—631, 8 — **6—13** Zonar. 3, 36, 24—37, 9 Dind.

ATERBDMΣΛ

**15/16** *τοῦ Ἀδιαβηνῶν ἔθνους*] *in Mesopotamien* Σ | **18** *διαδιδομένησ* ATEΛ *διαδεδομένησ* RBM *διαγενομένησ* D | **22** *τοῦθ' ὁ* Schw *τοῦτο* AT[1]ERBDM *τοῦτο ὁ* T[r]

**2** *ὃσ δὴ* BDΣΛ *καί μοι λαβὼν ἀνάγνωθι τοῦδε τὴν γραφὴν ἣν* ATER *καί μοι λαβὼν ἀνάγνωθι τοῦδε τὴν γραφὴν ὃσ δὴ* M | **3** *ἀπολογίᾳ*] *ἀπολογεῖται* M | **8** *τὸν* A[1] corr., T durch Rasur, ERDM Synk Iust *τῶν* A[1]T[1]B | **11** *ὑμῶν* T[c]ERDΣ Synk Iust *ὑμῖν* AT[1]BMΛ Zon | *τετίμηται* ATERM Synk Zon *τετίμητο* BD (*mit der Statue*) *die ihr gemacht habt* (*im Fluss usw.*) durch Conjectur Σ *simulacri . . . in flumine Tiberis . . . collocati* durch Conjectur Λ *τετίμηται ὃς ἀνδριὰς ἐγήγερται* Iust | **12** *ἐπιγραφὴν ῥωμαικὴν* BDM Synk Iust *ῥωμαικὴν ἐπιγραφὴν* ATER | **14** *καὶ*[1] ABDΣ Synk Iust *ᾧ καὶ* TER *ὃ καὶ* M *quem et* Λ

134 ›Ἑλένην τινά, τὴν συμπερινοστήσασαν αὐτῷ κατ᾽ ἐκεῖνο τοῦ καιροῦ, ›πρότερον ἐπὶ τέγους σταθεῖσαν‹ ἐν Τύρῳ τῆς Φοινίκης, ›τὴν ἀπ᾽ ›αὐτοῦ πρώτην ἔννοιαν λέγουσιν‹.

136 ταῦτα μὲν οὗτος· συνᾴδει δ᾽ αὐτῷ καὶ Εἰρηναῖος, ἐν πρώτῳ 5
τῶν πρὸς τὰς αἱρέσεις ὁμοῦ τὰ περὶ τὸν ἄνδρα καὶ τὴν ἀνοσίαν καὶ
μιαρὰν αὐτοῦ διδασκαλίαν ὑπογράφων, ἣν ἐπὶ τοῦ παρόντος πε-
ριττὸν ἂν εἴη καταλέγειν, παρὸν τοῖς βουλομένοις καὶ τῶν μετ᾽
αὐτὸν κατὰ μέρος αἱρεσιαρχῶν τὰς ἀρχὰς καὶ τοὺς βίους καὶ τῶν
ψευδῶν δογμάτων τὰς ὑποθέσεις τά τε πᾶσιν αὐτοῖς ἐπιτετηδευ-
μένα διαγνῶναι, οὐ κατὰ πάρεργον τῇ δεδηλωμένῃ τοῦ Εἰρηναίου
παραδεδομένα βίβλῳ. πάσης μὲν οὖν ἀρχηγὸν αἱρέσεως πρῶτον 6
γενέσθαι τὸν Σίμωνα παρειλήφαμεν· ἐξ οὗ καὶ εἰς δεῦρο οἱ τὴν κατ᾽
αὐτὸν μετιόντες αἵρεσιν τὴν σώφρονα καὶ διὰ καθαρότητα βίου παρὰ
τοῖς πᾶσιν βεβοημένην Χριστιανῶν φιλοσοφίαν ὑποκρινόμενοι, ἧς μὲν
ἔδοξαν ἀπαλλάττεσθαι περὶ τὰ εἴδωλα δεισιδαιμονίας οὐδὲν ἧττον
αὖθις ἐπιλαμβάνονται, καταπίπτοντες ἐπὶ γραφὰς καὶ εἰκόνας αὐτοῦ
τε τοῦ Σίμωνος καὶ τῆς σὺν αὐτῷ δηλωθείσης Ἑλένης θυμιάμασίν τε
καὶ θυσίαις καὶ σπονδαῖς τούτους θρησκεύειν ἐγχειροῦντες, τὰ δὲ τού- 7
των αὐτοῖς ἀπορρητότερα, ὧν φασι τὸν πρῶτον ἐπακούσαντα ἐκπλαγή-
σεσθαι καὶ κατά τι παρ᾽ αὐτοῖς λόγιον ἔγγραφον θαμβωθήσεσθαι,
θάμβους ὡς ἀληθῶς καὶ φρενῶν ἐκστάσεως καὶ μανίας ἔμπλεα τυγχά-
νει, τοιαῦτα ὄντα, ὡς μὴ μόνον μὴ δυνατὰ εἶναι παραδοθῆναι γραφῇ,
ἀλλ᾽ οὐδὲ χείλεσιν αὐτὸ μόνον δι᾽ ὑπερβολὴν αἰσχρουργίας τε καὶ
ἀρρητοποιίας ἀνδράσι σώφροσι λαληθῆναι. ὅ τι ποτὲ γὰρ ἂν ἐπι- 8
νοηθείη παντὸς αἰσχροῦ μιαρώτερον, τοῦτο πᾶν ὑπερηκόντισεν ἡ τῶνδε
μυσαρωτάτη αἵρεσις, ταῖς ἀθλίαις καὶ παντοίων ὡς ἀληθῶς κακῶν
σεσωρευμέναις γυναιξὶν ἐγκαταπαιζόντων. τοιούτων κακῶν πατέρα 14 1
καὶ δημιουργὸν τὸν Σίμωνα κατ᾽ ἐκεῖνο καιροῦ ὥσπερ εἰ μέγαν καὶ
μεγάλων ἀντίπαλον τῶν θεσπεσίων τοῦ σωτῆρος ἡμῶν ἀποστόλων

**17** Iren. 1, 23, 2

**1–3** Iren. 1, 23, 1–4 — **23. 24** 2 Tim. 3, 6

ATERBDMΣΛ

**16** *Σελήνην* ΣΛ | *τοῦ* BDM Synk Iust > ATER | **17** *ἀπ᾽* A, T corr., ERBDMΣ Synk *ὑπ᾽* $T^1$ *ὑπ᾽ (αὐτοῦ ἔννοιαν πρώτην γενομένην)* Iust

**1** *μὲν* BDM *μὲν οὖν* ATER | *οὗτοσ* TERB *Iustinus* ΣΛ *οὕτωσ* ADM **2** *τῶν* BDM *τῶ* ATER | **13** *ἐπὶ γραφὰσ* $AT^rR$ΣΛ *ἐπιγραφὰσ* $T^1$BD *εἰσ ἐπιγραφὰσ* $T^c$EM | **14** *Σελήνης* ΣΛ | **15** *ἐγχειροῦντεσ* ATERM *ἐπιχειροῦντεσ* BD *γρ ἐπιχειροῦντεσ* $A^m$ | **21** *ἂν* $T^1$BDMΣ *ἂν εἴη ἢ* $AT^{cm}$ER *ἂν ἢ ἢ* $T^r$ *est . . quod excogitari potest* Λ

138 ἡ μισόκαλος καὶ τῆς ἀνθρώπων ἐπίβουλος σωτηρίας πονηρὰ δύναμις
προυστήσατο.
Ὅμως δ' οὖν ἡ θεία καὶ ὑπερουράνιος χάρις τοῖς αὐτῆς συναιρο- ΙΔ 2
μένη διακόνοις, δι' ἐπιφανείας αὐτῶν καὶ παρουσίας ἀναπτομένην τοῦ
πονηροῦ τὴν φλόγα ᾗ τάχος ἐσβέννυ, ταπεινοῦσα δι' αὐτῶν καὶ κα-
θαιροῦσα πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. διὸ 3
δὴ οὔτε Σίμωνος οὔτ' ἄλλου του τῶν τότε φυέντων συγκρότημά τι
κατ' αὐτοὺς ἐκείνους τοὺς ἀποστολικοὺς ὑπέστη χρόνους. ὑπερενίκα
γάρ τοι καὶ ὑπερίσχυεν ἅπαντα τὸ τῆς ἀληθείας φέγγος ὅ τε λόγος
αὐτὸς ὁ θεῖος ἄρτι θεόθεν ἀνθρώποις ἐπιλάμψας ἐπὶ γῆς τε ἀκμάζων
καὶ τοῖς ἰδίοις ἀποστόλοις ἐμπολιτευόμενος. αὐτίκα ὁ δηλωθεὶς 4
γόης ὥσπερ ὑπὸ θείας καὶ παραδόξου μαρμαρυγῆς τὰ τῆς διανοίας
πληγεὶς ὄμματα ὅτε πρότερον ἐπὶ τῆς Ἰουδαίας ἐφ' οἷς ἐπονηρεύσατο
πρὸς τοῦ ἀποστόλου Πέτρου κατεφωράθη, μεγίστην καὶ ὑπερπόντιον
ἀπάρας πορείαν τὴν ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς ᾤχετο φεύγων, μό-
νως ταύτῃ βιωτὸν αὐτῷ κατὰ γνώμην εἶναι οἰόμενος· ἐπιβὰς δὲ τῆς 5
Ῥωμαίων πόλεως, συναιρομένης αὐτῷ τὰ μεγάλα τῆς ἐφεδρευούσης
ἐνταῦθα δυνάμεως, ἐν ὀλίγῳ τοσοῦτον τὰ τῆς ἐπιχειρήσεως ἤνυστο,
ὡς καὶ ἀνδριάντος ἀναθέσει πρὸς τῶν τῇδε οἷα θεὸν τιμηθῆ-
ναι. οὐ μὴν εἰς μακρὸν αὐτῷ ταῦτα προυχώρει. παρὰ πόδας 6
γοῦν ἐπὶ τῆς αὐτῆς Κλαυδίου βασιλείας ἡ πανάγαθος καὶ φιλαν-
θρωποτάτη τῶν ὅλων πρόνοια τὸν καρτερὸν καὶ μέγαν τῶν ἀπο-
στόλων, τὸν ἀρετῆς ἕνεκα τῶν λοιπῶν ἁπάντων προήγορον, Πέτρον,
ἐπὶ τὴν Ῥώμην ὡς ἐπὶ τηλικοῦτον λυμεῶνα βίου χειραγωγεῖ· ὃς
οἷά τις γενναῖος θεοῦ στρατηγὸς τοῖς θείοις ὅπλοις φραξάμενος,
τὴν πολυτίμητον ἐμπορίαν τοῦ νοητοῦ φωτὸς ἐξ ἀνατολῶν τοῖς
κατὰ δύσιν ἐκόμιζεν, φῶς αὐτὸ καὶ λόγον ψυχῶν σωτήριον, τὸ κή-
ρυγμα τῆς τῶν οὐρανῶν βασιλείας, εὐαγγελιζόμενος. οὕτω δὴ οὖν 15 1
140 ἐπιδημήσαντος αὐτοῖς τοῦ θείου λόγου, ἡ μὲν τοῦ Σίμωνος ἀπέσβη
καὶ παραχρῆμα σὺν καὶ τῷ ἀνδρὶ καταλέλυτο δύναμις·
τοσοῦτον δ' ἐπέλαμψεν ταῖς τῶν ἀκροατῶν τοῦ Πέτρου διανοίαις ΙΕ
εὐσεβείας φέγγος, ὡς μὴ τῇ εἰς ἅπαξ ἱκανῶς ἔχειν ἀρκεῖσθαι ἀκοῇ
μηδὲ τῇ ἀγράφῳ τοῦ θείου κηρύγματος διδασκαλίᾳ, παρακλήσεσιν δὲ

**5/6** II Kor. 10, 5 — **12—14** Act. 8, 18—23 — **25** vgl. Eph. 6, 14—17 I Thess. 5, 8 — **27** Ioann. 1, 9

ATERBDMΣΛ

**9** ἅπαντα ADM τὰ πάντα TERB | **10** θεῖοσ ΠΛ θεὸς Σ | ἐπὶ γῆσ τε T$^{c}$ERBDM αὐτόσ τε ἐπὶ γῆσ AT$^{1}$ | **19** τῶν BDM αὐτῶν ATER | **28** δὴ οὖν ATER δ' οὖν BDM

140 παντοίαις Μάρκον, οὗ τὸ εὐαγγέλιον φέρεται, ἀκόλουθον ὄντα Πέ-
τρου, λιπαρῆσαι ὡς ἂν καὶ διὰ γραφῆς ὑπόμνημα τῆς διὰ λόγου
παραδοθείσης αὐτοῖς καταλείψοι διδασκαλίας, μὴ πρότερόν τε ἀνεῖ-
ναι ἢ κατεργάσασθαι τὸν ἄνδρα, καὶ ταύτῃ αἰτίους γενέσθαι τῆς
τοῦ λεγομένου κατὰ Μάρκον εὐαγγελίου γραφῆς. γνόντα δὲ τὸ 2
πραχθέν φασι τὸν ἀπόστολον ἀποκαλύψαντος αὐτῷ τοῦ πνεύματος,
ἡσθῆναι τῇ τῶν ἀνδρῶν προθυμίᾳ κυρῶσαί τε τὴν γραφὴν εἰς ἔν-
τευξιν ταῖς ἐκκλησίαις. Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων παρα-
τέθειται τὴν ἱστορίαν, συνεπιμαρτυρεῖ δὲ αὐτῷ καὶ ὁ Ἱεραπολίτης
ἐπίσκοπος ὀνόματι Παπίας. τοῦ δὲ Μάρκου μνημονεύειν τὸν Πέ-
τρον ἐν τῇ προτέρᾳ ἐπιστολῇ· ἣν καὶ συντάξαι φασὶν ἐπ᾽ αὐτῆς
Ῥώμης, σημαίνειν τε τοῦτ᾽ αὐτόν, τὴν πόλιν τροπικώτερον Βαβυ-
λῶνα προσειπόντα διὰ τούτων ›ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι
›συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου.‹
Τοῦτον δὲ [Μάρκον] πρῶτόν φασιν ἐπὶ τῆς Αἰγύπτου στειλάμε- Iς 16 1
νον, τὸ εὐαγγέλιον, ὃ δὴ καὶ συνεγράψατο, κηρῦξαι, ἐκκλησίας τε
πρῶτον ἐπ᾽ αὐτῆς Ἀλεξανδρείας συστήσασθαι.
Τοσαύτη δ᾽ ἄρα τῶν αὐτόθι πεπιστευκότων πληθὺς ἀνδρῶν τε IZ 2
καὶ γυναικῶν ἐκ πρώτης ἐπιβολῆς συνέστη δι᾽ ἀσκήσεως φιλοσοφω-
τάτης τε καὶ σφοδροτάτης, ὡς καὶ γραφῆς αὐτῶν ἀξιῶσαι τὰς διατρι-
βὰς καὶ τὰς συνηλύσεις τά τε συμπόσια καὶ πᾶσαν τὴν ἄλλην τοῦ βίου
142 ἀγωγὴν τὸν Φίλωνα· ὃν καὶ λόγος ἔχει κατὰ Κλαύδιον ἐπὶ τῆς 17 1
Ῥώμης εἰς ὁμιλίαν ἐλθεῖν Πέτρῳ, τοῖς ἐκεῖσε τότε κηρύττοντι. καὶ
οὐκ ἀπεικὸς ἂν εἴη τοῦτό γε, ἐπεὶ καὶ ὃ φαμεν αὐτὸ σύγγραμμα, εἰς
ὕστερον καὶ μετὰ χρόνους αὐτῷ πεπονημένον, σαφῶς τοὺς εἰς ἔτι
νῦν καὶ εἰς ἡμᾶς πεφυλαγμένους τῆς ἐκκλησίας περιέχει κανόνας· ἀλλὰ 2
καὶ τὸν βίον τῶν παρ᾽ ἡμῖν ἀσκητῶν ὡς ἔνι μάλιστα ἀκριβέστατα
ἱστορῶν, γένοιτ᾽ ἂν ἔκδηλος οὐκ εἰδὼς μόνον, ἀλλὰ καὶ ἀποδεχόμε-
νος ἐκθειάζων τε καὶ σεμνύνων τοὺς κατ᾽ αὐτὸν ἀποστολικοὺς ἄν-
δρας, ἐξ Ἑβραίων, ὡς ἔοικε, γεγονότας ταύτῃ τε ἰουδαϊκώτερον τῶν
παλαιῶν ἔτι τὰ πλεῖστα διατηροῦντας ἐθῶν. πρῶτόν γέ τοι τὸ 3

**13/14** Zahn, Forschungen 3, 72. 73 — **14/15** unten 3, 39, 15 — **18/19** I Petr. 5, 13

ATERBDMΣΛ

**10** *τοῦ λεγομένου* BDMΛ *λεγομένησ τοῦ* ATER | **12** *ἡσθῆναι*] *und aufmerkte* Σ | **20** *μάρκον* AT¹B *τὸν μάρκον* T^cm T^r ERDM (*hunc*) *Marcum* Λ (*über diesen*) *Marcus* Σ > Schw | **26** *πᾶσαν τὴν ἄλλην* BDM *τὴν ἄλλην πᾶσαν* ATER

**3** *αὐτὸ* Λ (*scripturam istam quam diximus*), *αὐτῷ* ATERM > BD

142 μηθὲν πέρα τῆς ἀληθείας οἴκοθεν καὶ ἐξ ἑαυτοῦ προσθήσειν οἷς
ἱστορήσειν ἔμελλεν, ἀπισχυρισάμενος ἐν ᾧ ἐπέγραψεν λόγῳ Περὶ βίου
θεωρητικοῦ ἢ ἱκετῶν, θεραπευτὰς αὐτοὺς καὶ τὰς σὺν αὐτοῖς γυναῖ-
κας θεραπευτρίδας ἀποκαλεῖσθαί φησιν, τὰς αἰτίας ἐπειπὼν τῆς τοι-
ᾶσδε προσρήσεως, ἤτοι παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς
τῶν ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας ἀκεῖσθαι καὶ
θεραπεύειν, ἢ τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας
τε καὶ θρησκείας ἕνεκα. εἴτ᾽ οὖν ἐξ ἑαυτοῦ ταύτην αὐτοῖς ἐπιτέ- 4
θειται τὴν προσηγορίαν, οἰκείως ἐπιγράψας τῷ τρόπῳ τῶν ἀνδρῶν
τοὔνομα, εἴτε καὶ ὄντως τοῦτ᾽ αὐτοὺς ἐκάλουν κατ᾽ ἀρχὰς οἱ πρῶ-
τοι, μηδαμῶς τῆς Χριστιανῶν πω προσρήσεως ἀνὰ πάντα τόπον
ἐπιπεφημισμένης, οὔ τί πω διατείνεσθαι ἀναγκαῖον· ὅμως δ᾽ οὖν ἐν 5
πρώτοις τὴν ἀπόταξιν αὐτοῖς τῆς οὐσίας μαρτυρεῖ, φάσκων ἀρχομέ-
νους φιλοσοφεῖν ἐξίστασθαι τοῖς προσήκουσι τῶν ὑπαρχόντων, ἔπειτα
144 πάσαις ἀποταξαμένους ταῖς τοῦ βίου φροντίσιν, ἔξω τειχῶν προελθόν-
τας, ἐν μοναγρίοις καὶ κήποις τὰς διατριβὰς ποιεῖσθαι, τὰς ἐκ τῶν
ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εὖ εἰδότας, τῶν κατ᾽
ἐκεῖνο καιροῦ τοῦθ᾽, ὡς εἰκός, ἐπιτελούντων, ἐκθύμῳ καὶ θερμοτάτῃ
πίστει τὸν προφητικὸν ζηλοῦν ἀσκούντων βίον. καὶ γὰρ οὖν κἀν 6
ταῖς ὁμολογουμέναις τῶν ἀποστόλων Πράξεσιν ἐμφέρεται ὅτι δὴ
πάντες οἱ τῶν ἀποστόλων γνώριμοι τὰ κτήματα καὶ τὰς ὑπάρξεις
διαπιπράσκοντες ἐμέριζον ἅπασιν καθ᾽ ὃ ἄν τις χρείαν εἶχεν, ὡς μηδὲ
εἶναί τινα ἐνδεῆ παρ᾽ αὐτοῖς· ὅσοι γοῦν κτήτορες χωρίων ἢ οἰ-
κιῶν ὑπῆρχον, ὡς ὁ λόγος φησίν, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν
πιπρασκομένων, ἐτίθεσάν τε παρὰ τοὺς πόδας τῶν ἀποστόλων,
ὥστε διαδίδοσθαι ἑκάστῳ καθ᾽ ὅτι ἄν τις χρείαν εἶχεν. τὰ παρα- 7
πλήσια δὲ τούτοις μαρτυρήσας τοῖς δηλουμένοις ὁ Φίλων συλλαβαῖς
αὐταῖς ἐπιφέρει λέγων

**11/12** Philo p. 471, 6/7 — **13—18** Philo p. 471, 15—472, 3 — **22—24** Philo p. 473, 18—22 — **24**—S. 144, 3 Philo p. 474, 17—34

**6—8** Act. 2, 45 — **8—12** Act. 4, 34. 35

ATERBDMΣΛ

**11** *ἔξωθεν* B (*de proprio uel*) *extrinsecus* Λ | vor *καὶ* + *δὲ* A | *οἷσ* TERBDM *ἐν οἷσ* ΑΣ | **12** *ἀπισχυρισάμενοσ* ATER *ἐπισχυρισάμενοσ* BDM

**21** *μηδαμῶσ τῆσ χριστιανῶν πω* $T^1$BDM *πω* ausradirt TM über *τῆσ* etwas ausradirt T *μηδαμῶσ πω τῆσ χριστιανῶν* AER

**2** *μοναστηρίοισ* M | **5** *καὶ γὰρ οὖν* BDM *καὶ γὰρ* T aus Corr., ER *τοιγαροῦν* $AT^1$ | *κἀν* BD *κἂν* A *κὰν* M *ἐν* T aus Corr., ER

**144** »πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶν τὸ γένος· ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον· πλεονάζει δ' ἐν Αἰγύπτῳ καθ' ἕκαστον τῶν ἐπικαλουμένων νομῶν καὶ μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. οἱ δὲ πανταχόθεν ἄριστοι, καθά- 8
περ εἰς πατρίδα θεραπευτῶν, ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρείας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου, σφόδρα εὐκαίρως ἀσφαλείας τε ἕνεκα καὶ ἀέρος εὐκρασίας.«

εἶθ' ἑξῆς τὰς οἰκήσεις αὐτῶν ὁποῖαί τινες ἦσαν διαγράψας, περὶ τῶν κατὰ χώραν ἐκκλησιῶν ταῦτά φησιν

**146** »ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν οἴκημα ἱερὸν ὃ καλεῖται σεμνεῖον καὶ 9
μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτόν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους καὶ τἆλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται«.

καὶ μεθ' ἕτερά φησιν

»τὸ δ' ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν αὐτοῖς ἐστιν 10
ἄσκησις. ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασιν φιλοσοφοῦσιν τὴν πάτριον φιλοσοφίαν ἀλληγοροῦντες, ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσιν ἀποκεκρυμμένης φύσεως, ἐν ὑπονοίαις δηλουμένης. ἔστι δ' αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς 11
αἱρέσεως αὐτῶν ἀρχηγέται γενόμενοι, πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον«.

ταῦτα μὲν οὖν ἔοικεν εἰρῆσθαι τῷ ἀνδρὶ τὰς ἱερὰς ἐξηγουμένων 12
αὐτῶν ἐπακροασαμένῳ γραφάς, τάχα δ' εἰκός, ἅ φησιν ἀρχαίων παρ'

**15—22** Philo p. 474, 35—44
**1—6** Philo p. 475, 14—22 — **8—15** Philo 475, 34—476, 2

ATERBDMΣΛ
**17** *νομῶν* $E^{c}RD^{r}$Λ *in jeder Stadt* Σ *νόμων* $AT^{1}E^{1}BM$ in *νόμῳ* durch Rasur corr. T > $D^{1}$ | **19** *θεραπευτῶν* alte, bei Philo zu entfernende Interpolation
**1** *οἰκίᾳ* ATERM > BD *dort* Σ *in singulis locis* Λ | **9/10** *φιλοσοφοῦσιν τὴν πάτριον φιλοσοφίαν* BDM Philo *τὴν πάτριον φιλοσοφοῦσι σοφίαν* ATER | **13** *αὐτῶν* ΠΣ *αὐτῆς* Λ > Philo | **16** *μὲν οὖν* $T^{c}T^{r}$ERBDM *μὲν* $AT^{1}$

146 αὐτοῖς εἶναι συγγράμματα, εὐαγγέλια καὶ τὰς τῶν ἀποστόλων γραφὰς διηγήσεις τέ τινας κατὰ τὸ εἰκὸς τῶν πάλαι προφητῶν ἑρμηνευτικάς, ὁποίας ἥ τε πρὸς Ἑβραίους καὶ ἄλλαι πλείους τοῦ Παύλου
148 περιέχουσιν ἐπιστολαί, ταῦτ' εἶναι. εἶτα πάλιν ἑξῆς περὶ τοῦ νέους 13
αὐτοὺς ποιεῖσθαι ψαλμοὺς οὕτως γράφει·

»ὥστ' οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν ᾄσματα καὶ ὕμνους »εἰς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν ἀριθμοῖς σεμνοτέροις »ἀναγκαίως χαράσσοντες«.

πολλὰ μὲν οὖν καὶ ἄλλα περὶ ὧν ὁ λόγος, ἐν ταὐτῷ διέξεισιν, 14
ἐκεῖνα δ' ἀναγκαῖον ἐφάνη δεῖν ἀναλέξασθαι, δι' ὧν τὰ χαρακτηριστικὰ τῆς ἐκκλησιαστικῆς ἀγωγῆς ὑποτίθεται. εἰ δέ τῳ μὴ δοκεῖ 15
τὰ εἰρημένα ἴδια εἶναι τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, δύνασθαι δὲ καὶ ἄλλοις παρὰ τοὺς δεδηλωμένους ἁρμόττειν, πειθέσθω κἂν ἀπὸ τῶν ἑξῆς αὐτοῦ φωνῶν, ἐν αἷς ἀναμφήριστον, εἰ εὐγνωμονοίη, κομίσεται τὴν περὶ τοῦδε μαρτυρίαν. γράφει γὰρ ὧδε·

»ἐγκράτειαν δ' ὥσπερ τινὰ θεμέλιον προκαταβαλλόμενοι τῇ ψυχῇ, 16
»τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς. σιτίον ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν »προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπεὶ τὸ μὲν φιλοσοφεῖν ἄξιον »φωτὸς κρίνουσιν εἶναι, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας· ὅθεν
»τῷ μὲν ἡμέραν, ταῖς δὲ νυκτὸς βραχύ τι μέρος ἔνειμαν. ἔνιοι δὲ 17
»καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος »ἐπιστήμης ἐνίδρυται, τινὲς δὲ οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ »σοφίας ἑστιώμενοι πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης,

**3—5** Philo p. 476, 2—5 — **13—22** Philo p. 476, 36—49 — **16/17** vgl. Eur. frg. 183

ATERBDMΣ*Δ*

**18** *εὐαγγέλια* $T^1$BDM *τά τε εὐαγγέλια* A$T^c$ER | **18/19** *γραφὰσ* $T^1$BDM *γραφὰσ τυγχάνειν* A, $T^c$m [getilgt], ER

**4** *ἀριθμοῖσ* $T^1$BDM *ῥυθμοῖσ* A$T^1$mER *compage Δ* *ἃ ῥυθμοῖσ* Philo | **5** *χαράσσοντες ΠΔ χαράττουσιν* Philo | **6** *περὶ ὧν* A$T^1$B *über sie Σ* *προιὼν* $T^c$ERDM | **13** *προκαταβαλόμενοι* Philo | **14** *σιτίον* TERB*Δ* *σιτίον δὲ* DMΣ Philo *σιτίον γὰρ* A | **15/16** *ἄξιον φωτὸσ* BDM Philo *φωτὸσ ἄξιον* ATER | **17** *τῶι μὲν ἡμέραν* TEBDMΣ *τῶ μὲν ἡμέρασ* R *τὸ μὲν ἡμέρασ* A *τῶι μὲν ἡμέραν* und *τῶι μὲν ἡμέρασ* Philo HSS | *ταῖσ* $T^r$R Philo *τοῖσ* $T^1$EBDM *τὰ* A | *ἔνειμαν* TERBDM Philo *ἀπένειμαν* A

148 »ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν καὶ μόγις δι' ἓξ ἡμερῶν
22 »ἀπογεύεσθαι τροφῆς ἀναγκαίας, ἐθισθέντες«.

150 ταύτας τοῦ Φίλωνος σαφεῖς καὶ ἀναντιρρήτους περὶ τῶν καθ'
ἡμᾶς ὑπάρχειν ἡγούμεθα λέξεις. εἰ δ' ἐπὶ τούτοις ἀντιλέγων τις 18
ἔτι σκληρύνοιτο, καὶ οὗτος ἀπαλλαττέσθω τῆς δυσπιστίας, ἐναργε-
στέραις πειθαρχῶν ἀποδείξεσιν, ἃς οὐ παρά τισιν ἢ μόνῃ τῇ Χρι-
στιανῶν εὑρεῖν ἔνεστιν κατὰ τὸ εὐαγγέλιον θρησκείᾳ. φησὶν γὰρ 19
τοῖς περὶ ὧν ὁ λόγος καὶ γυναῖκας συνεῖναι, ὧν αἱ πλεῖσται γηρα-
λέαι παρθένοι τυγχάνουσιν, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι
τῶν παρ' Ἕλλησιν ἱερειῶν, φυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον
γνώμην, διὰ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι
τῶν περὶ τὸ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐκγόνων, ἀλλ'
ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν
ἡ θεοφιλὴς ψυχή. εἶθ' ὑποκαταβάς, ἐμφαντικώτερον ἐκτίθεται 20
ταῦτα·

»αἱ δ' ἐξηγήσεις τῶν ἱερῶν γραμμάτων γίνονται αὐτοῖς δι' »ὑπονοιῶν ἐν ἀλληγορίαις. ἅπασα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς »ἀνδράσι τούτοις ἐοικέναι ζῴῳ καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς δια- »τάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν, »ὃν ἤρξατο διαφερόντως ἡ οἰκία αὕτη θεωρεῖν, ὡς διὰ κατό- »πτρου τῶν ὀνομάτων ἐξαίσια κάλλη νοημάτων ἐμφαινόμενα κατι- »δοῦσα.«

**5—12** Philo p. 482, 3—11 — **13—18** Philo p. 483, 42—484, 1

ATERBDMΣΛ

**22** *ἐθισθέντες* sinnlos, da das Excerpt falsch abgetheilt

**5** *ἔνεστιν* DM *ἔνεστι* B *ἐστὶ* ATER | **5/6** *γὰρ τοῖσ* B *γάρ τοι* DM *γὰρ δὴ τοῖσ* ATER | **6/7** *γηράλαιαι παρθένοι τυγχάνουσι* B *γηραλέαι τυγχάνουσιν* (-ι T) *παρθένοι* A$T^{1}$Tr *γηραλέαι ἀειπάρθενοι τυγχάνουσιν* (-ι ER) $T^{c}$ [undeutlich], ERDM *γηραιαὶ παρθένοι* Philo | **13** *ταῦτα* $T^{1}$BDMΣ *καὶ ταῦτα* A$T^{c}$ER | **16/17** *διατάξεισ* TERBDM Philo *λέξεισ* A | **18** *δν ἤρξατο Π ἐν ᾧι ἤρξατο* und *δν ἐνήρξατο* Philo HSS | *διαφερόντωσ ἡ οἰκία αὕτη* $T^{c}$ERDMΣ *illi Λ* *διαφερόντωσ ἡ οἰκία αὐτὴ* $T^{1}$ *διαφερόντωσ ἡ οἰκεία αὕτη* B *διαφερόντωσ ἡ θρησκεία αὕτη* A *ἡ ψυχὴ διαφερόντωσ ἡ οἰκεία* und *ἡ λογικὴ ψυχὴ διαφερόντωσ τὰ οἰκεῖα* Philo HSS, Philo selbst scheint geschrieben zu haben *δν ἤρξατο διαφερόντωσ ἡ οἰκεία* (nämlich *ψυχή*) *θεωρεῖν*

152 *τί δεῖ τούτοις ἐπιλέγειν τὰς ἐπὶ ταὐτὸν συνόδους καὶ τὰς ἰδίᾳ* 21
*μὲν ἀνδρῶν, ἰδίᾳ δὲ γυναικῶν ἐν ταὐτῷ διατριβὰς καὶ τὰς ἐξ ἔθους*
*ἔτι καὶ νῦν πρὸς ἡμῶν ἐπιτελουμένας ἀσκήσεις, ἃς διαφερόντως κατὰ*
*τὴν τοῦ σωτηρίου πάθους ἑορτὴν ἐν ἀσιτίαις καὶ διανυκτερεύσεσιν*
*προσοχαῖς τε τῶν θείων λόγων ἐκτελεῖν εἰώθαμεν, ἅπερ ἐπ᾽ ἀκριβέστε-* 22
*ρον αὐτὸν ὃν καὶ εἰς δεῦρο τετήρηται παρὰ μόνοις ἡμῖν τρόπον*
*ἐπισημηνάμενος ὁ δηλωθεὶς ἀνὴρ τῇ ἰδίᾳ παρέδωκεν γραφῇ, τὰς*
*τῆς μεγάλης ἑορτῆς παννυχίδας καὶ τὰς ἐν ταύταις ἀσκήσεις τούς τε*
*λέγεσθαι εἰωθότας πρὸς ἡμῶν ὕμνους ἱστορῶν, καὶ ὡς ἑνὸς μετὰ*
*ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ᾽ ἡσυχίαν ἀκροώμενοι*
*τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσιν, ὅπως τε κατὰ τὰς δεδη-*
*λωμένας ἡμέρας ἐπὶ στιβάδων χαμευνοῦντες οἴνου μὲν τὸ παράπαν,*
*ὡς αὐτοῖς ῥήμασιν ἀνέγραψεν, οὐδ᾽ ἀπογεύονται, ἀλλ᾽ οὐδὲ τῶν*
*ἐναίμων τινός, ὕδωρ δὲ μόνον αὐτοῖς ἐστι ποτόν, καὶ προσόψημα*
*μετ᾽ ἄρτου ἅλες καὶ ὕσσωπον. πρὸς τούτοις γράφει τὸν τῆς προ-* 23
*στασίας τρόπον τῶν τὰς ἐκκλησιαστικὰς λειτουργίας ἐγκεχειρισμέ-*
*νων διακονίας τε καὶ τὰς ἐπὶ πᾶσιν ἀνωτάτω τῆς ἐπισκοπῆς προε-*
*δρίας. τούτων δ᾽ ὅτῳ πόθος ἔνεστι τῆς ἀκριβοῦς ἐπιστάσεως,*
*μάθοι ἂν ἐκ τῆς δηλωθείσης τοῦ ἀνδρὸς ἱστορίας· ὅτι δὲ τοὺς πρώ-* 24
*τους κήρυκας τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας τά τε ἀρχῆθεν*
*πρὸς τῶν ἀποστόλων ἔθη παραδεδομένα καταλαβὼν ὁ Φίλων ταῦτ᾽*
*ἔγραφεν, παντί τῳ δῆλον.*

*Πολύς γε μὴν τῷ λόγῳ καὶ πλατὺς ταῖς διανοίαις, ὑψηλός* II 18 1
*τε ὢν καὶ μετέωρος ἐν ταῖς εἰς τὰς θείας γραφὰς θεωρίαις*
154 *γεγενημένος, ποικίλην καὶ πολύτροπον τῶν ἱερῶν λόγων πεποίηται τὴν*
*ὑφήγησιν, τοῦτο μὲν εἱρμῷ καὶ ἀκολουθίᾳ τὴν τῶν εἰς τὴν Γένεσιν*
*διεξελθὼν πραγματείαν ἐν οἷς ἐπέγραψεν Νόμων ἱερῶν ἀλληγορίας,*
*τοῦτο δὲ κατὰ μέρος διαστολὰς κεφαλαίων τῶν ἐν ταῖς γραφαῖς*
*ζητουμένων ἐπιστάσεις τε καὶ διαλύσεις πεποιημένος ἐν οἷς καὶ αὐτοῖς*

**1/2** Philo p. 476, 23–34 — **3/4** vgl. Philo p. 481, 22—24 — **7/8** vgl. Philo p. 484, 33. 34 — **9—11** Philo p. 484, 10—21 — **11—15** Philo p. 482, 18—21. 483, 4—10 — **15—18** vgl. Philo p. 481, 32—34. 42—p. 482, 3. 24. 25. p. 483, 17. p. 484, 6

ATERBDMΣΛ

**2** *ταὐτῶ* ATERMΛ *ταύταισ* BD | **6** *αὐτὸν* BDMΛ *αὐτὸσ* $AT^rER$, $T^1T^c$ durch Rasuren zerstört | *δσ* M | **7** *τὰσ* $T^1$BDMΣ *καὶ μάλιστά γε τὰσ* $AT^cER$ | **17** *ἀνωτάτω* BDMΛ *ἀνωτάτω τε* ATER

**5** *πεποιημένοσ* BDM *ποιούμενοσ* ATER

154 *καταλλήλως Τῶν ἐν Γενέσει καὶ τῶν ἐν Ἐξαγωγῇ ζητημάτων καὶ
λύσεων τέθειται τὴν ἐπιγραφήν. ἔστι δ' αὐτῷ παρὰ ταῦτα προ-* 2
*βλημάτων τινῶν ἰδίως πεπονημένα σπουδάσματα, οἷά ἐστι τὰ Περὶ
γεωργίας δύο, καὶ τὰ Περὶ μέθης τοσαῦτα, καὶ ἄλλα ἄττα διαφόρου
καὶ οἰκείας ἐπιγραφῆς ἠξιωμένα, οἷος ὁ Περὶ ὧν νήψας ὁ νοῦς εὔχε-
ται καὶ καταρᾶται καὶ περὶ συγχύσεως τῶν διαλέκτων, καὶ ὁ Περὶ
φυγῆς καὶ εὑρέσεως, καὶ ὁ Περὶ τῆς πρὸς τὰ παιδεύματα συνόδου,
Περί τε τοῦ τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος ἢ περὶ τῆς εἰς τὰ
ἴσα καὶ ἐναντία τομῆς, καὶ ἔτι τὸ Περὶ τῶν τριῶν ἀρετῶν ἃς σὺν
ἄλλαις ἀνέγραψεν Μωυσῆς, πρὸς τούτοις ὁ Περὶ τῶν μετονομαζο-* 3
*μένων καὶ ὧν ἕνεκα μετονομάζονται, ἐν ᾧ φησι συντεταχέναι καὶ
Περὶ διαθηκῶν α' β'· ἔστιν δ' αὐτοῦ καὶ Περὶ ἀποικίας καὶ βίου* 4
*σοφοῦ τοῦ κατὰ δικαιοσύνην τελειωθέντος ἢ νόμων ἀγράφων, καὶ
ἔτι Περὶ γιγάντων ἢ περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον, Περί τε τοῦ
κατὰ Μωυσέα θεοπέμπτους εἶναι τοὺς ὀνείρους α' β' γ' δ' ε'. καὶ
ταῦτα μὲν τὰ εἰς ἡμᾶς ἐλθόντα τῶν εἰς τὴν Γένεσιν, εἰς δὲ τὴν* 5
*Ἔξοδον ἔγνωμεν αὐτοῦ Ζητημάτων καὶ λύσεων α' β' γ' δ' ε', καὶ τὸ*
156 *Περὶ τῆς σκηνῆς, τό τε Περὶ τῶν δέκα λογίων, καὶ τὰ Περὶ τῶν
ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν
δέκα λόγων α' β' γ' δ', καὶ τὸ Περὶ τῶν εἰς τὰς ἱερουργίας ζῴων
καὶ τίνα τὰ τῶν θυσιῶν εἴδη, καὶ τὸ Περὶ τῶν προκειμένων ἐν
τῷ νόμῳ τοῖς μὲν ἀγαθοῖς ἄθλων, τοῖς δὲ πονηροῖς ἐπιτιμίων καὶ
ἀρῶν. πρὸς τούτοις ἅπασιν καὶ μονόβιβλα αὐτοῦ φέρεται ὡς τὸ* 6
*Περὶ προνοίας, καὶ ὁ Περὶ Ἰουδαίων αὐτῷ συνταχθεὶς λόγος, καὶ ὁ
Πολιτικός, ἔτι τε ὁ Ἀλέξανδρος ἢ περὶ τοῦ λόγον ἔχειν τὰ ἄλογα
ζῷα, ἐπὶ τούτοις ὁ Περὶ τοῦ δοῦλον εἶναι πάντα φαῦλον, ᾧ ἑξῆς
ἐστιν ὁ Περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι· μεθ' οὓς συντέ-* 7

**17** Philo de mut. nom. 53

ATERBDMΣΛ

**6** *καὶ*$^2$ BDM *τε καὶ* ATER | **10** *νοῦσ ΠΣΛ* Philo HSS Hieronym. de uir. ill. 11, alte Verderbniss von *Νῶε* | **12** *φυγῆσ καὶ εὑρέσεωσ* BDM Philo, $T^1$ durch Rasuren zerstört, *φυγῆσ καὶ αἱρέσεωσ* A *φυγῆσ διαιρέσεωσ* Σ *φυγῆσ καὶ αἱρέσεωσ καὶ ὁ περὶ φύσεωσ καὶ εὑρέσεωσ* $T^r$ auf Ras. von 13 Buchst., ER *φύσεωσ καὶ εὑρέσεωσ Λ* Hieronym | **17** *α' β'* DM *πρῶτον καὶ δεύτερον* BΛ *libri duo* Hieronym *πρώτησ καὶ δευτέρασ* ATER *über die zwei Bündnisse* Σ | **17/18** *Περὶ ἀποικίας* und *Περὶ βίου κτλ.* sind falsch zu einem Werk vereinigt | **18** *δικαιοσύνην ΠΛΣ διδασκαλίαν* Philo

**4** *τίνα τὰ* A Philo *τίνα* TERBDM | **8** *ὁ ἀλέξανδροσ* ADM *ἀλέξανδροσ* TERB

156 τακται αὐτῷ ὁ Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν, ἐξ οὗ τὰ περὶ τοῦ
βίου τῶν ἀποστολικῶν ἀνδρῶν διεληλύθαμεν, καὶ τῶν ἐν νόμῳ δὲ
καὶ προφήταις Ἑβραϊκῶν ὀνομάτων αἱ ἑρμηνεῖαι τοῦ αὐτοῦ σπουδὴ
εἶναι λέγονται. οὗτος μὲν οὖν κατὰ Γάϊον ἐπὶ τῆς Ῥώμης ἀφι- 8
κόμενος, τὰ περὶ τῆς Γαΐου θεοστυγίας αὐτῷ γραφέντα, ἃ μετὰ
ἤθους καὶ εἰρωνείας Περὶ ἀρετῶν ἐπέγραψεν, ἐπὶ πάσης λέγεται
τῆς Ῥωμαίων συγκλήτου κατὰ Κλαύδιον διελθεῖν, ὡς καὶ τῆς ἐν
βιβλιοθήκαις ἀναθέσεως θαυμασθέντας αὐτοῦ καταξιωθῆναι τοὺς
λόγους·

κατὰ δὲ τούσδε τοὺς χρόνους Παύλου τὴν ἀπὸ Ἱερουσαλὴμ 16 9
καὶ κύκλῳ πορείαν μέχρι τοῦ Ἰλλυρικοῦ διανύοντος, Ἰουδαίους
Ῥώμης ἀπελαύνει Κλαύδιος, ὅ τε Ἀκύλας καὶ Πρίσκιλλα μετὰ τῶν
ἄλλων Ἰουδαίων τῆς Ῥώμης ἀπαλλαγέντες ἐπὶ τὴν Ἀσίαν καταί-
ρουσιν, ἐνταῦθά τε Παύλῳ τῷ ἀποστόλῳ συνδιατρίβουσιν, τοὺς
αὐτόθι τῶν ἐκκλησιῶν ἄρτι πρὸς αὐτοῦ καταβληθέντας θεμε-
λίους ἐπιστηρίζοντι. διδάσκαλος καὶ τούτων ἡ ἱερὰ τῶν Πράξεων
158 γραφή. ἔτι δὲ Κλαυδίου τὰ τῆς βασιλείας διέποντος, κατὰ τὴν 19 1
τοῦ πάσχα ἑορτὴν τοσαύτην ἐπὶ τῶν Ἱεροσολύμων στάσιν καὶ τα-
ραχὴν ἐγγενέσθαι συνέβη, ὡς μόνων τῶν περὶ τὰς ἐξόδους τοῦ
ἱεροῦ βίᾳ συνωθουμένων τρεῖς μυριάδας Ἰουδαίων ἀποθανεῖν πρὸς
ἀλλήλων καταπατηθέντων, γενέσθαι τε τὴν ἑορτὴν πένθος μὲν ὅλῳ
τῷ ἔθνει, θρῆνον δὲ καθ᾽ ἑκάστην οἰκίαν. καὶ ταῦτα δὲ κατὰ λέξιν
ὁ Ἰώσηπος. Κλαύδιος δὲ Ἀγρίππαν, Ἀγρίππου παῖδα, Ἰουδαίων 2
καθίστησι βασιλέα, Φήλικα τῆς χώρας ἁπάσης Σαμαρείας τε καὶ
Γαλιλαίας καὶ προσέτι τῆς ἐπικαλουμένης Περαίας ἐπίτροπον ἐκ-
πέμψας, διοικήσας δὲ αὐτὸς τὴν ἡγεμονίαν ἔτεσιν τρισὶν καὶ δέκα
πρὸς μησὶν ὀκτώ, Νέρωνα τῆς ἀρχῆς διάδοχον καταλιπών, τε-
λευτᾷ.

Κατὰ δὲ Νέρωνα, Φήλικος τῆς Ἰουδαίας ἐπιτροπεύοντος, αὐτοῖς K 20 1
ῥήμασιν αὖθις ὁ Ἰώσηπος τὴν εἰς ἀλλήλους τῶν ἱερέων στάσιν
ὧδέ πως ἐν εἰκοστῷ τῆς Ἀρχαιολογίας γράφει

**20/21** Rom. 15, 19 — **21–26** Act. 18, 2. 18. 19. 23
**1–6** Ioseph. B. I. 2, 227 — **7–12** vgl. Ioseph. B. I. 2, 247. 248

ATERBDMΣΛ

**11** ἢ > D Hieronym | **13** σπουδὴ BDM σπουδαὶ A σπουδαίου TER | **20** κατὰ δὲ τούσδε τοὺσ χρόνουσ D κατὰ δὲ τοὺσ χρόνουσ B κατὰ δὲ τούσδε τοὺσ χρόνουσ καὶ M τηνικαῦτα δὲ καὶ ATER καὶ durch ΣΛ nicht bezeugt | **22** πρίσκα BΣ πρίσκα und πρίσκιλλα Λ HSS | **24** Παύλωι > BDΛ

**6** δὲ$^2$ T$^1$BDMΛ μὲν AT$^c$ER | **8** τῆσ AT$^1$B τε τῆσ T$^c$ERDM

158 ›ἐξάπτεται δὲ καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς καὶ 2
›τοὺς πρώτους τοῦ πλήθους τῶν Ἱεροσολύμων, ἕκαστός τε αὐτῶν
›στῖφος ἀνθρώπων τῶν θρασυτάτων καὶ νεωτεριστῶν ἑαυτῷ ποι-
›ήσας, ἡγεμὼν ἦν, καὶ συρράσσοντες ἐκακολόγουν τε ἀλλήλους καὶ
›λίθοις ἔβαλλον· ὁ δ᾽ ἐπιπλήξων ἦν οὐδὲ εἷς, ἀλλ᾽ ὡς ἐν ἀπροστα-
›τήτῳ πόλει ταῦτ᾽ ἐπράσσετο μετ᾽ ἐξουσίας. τοσαύτη δὲ τοὺς ἀρ- 3
›χιερεῖς κατέλαβεν ἀναίδεια καὶ τόλμα, ὥστε ἐκπέμπειν δούλους
›ἐτόλμων ἐπὶ τὰς ἅλωνας τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν ὀφει-
›λομένας δεκάτας. καὶ συνέβαινε τοὺς ἀπορουμένους τῶν ἱερέων
›ὑπ᾽ ἐνδείας ἀπολλυμένους θεωρεῖν· οὕτως ἐκράτει τοῦ δικαίου
›παντὸς ἡ τῶν στασιαζόντων βία‹.

πάλιν δὲ ὁ αὐτὸς συγγραφεὺς κατὰ τοὺς αὐτοὺς χρόνους ἐν Ἱε- 4
ροσολύμοις ὑποφυῆναι λῃστῶν τι εἶδος ἱστορεῖ, οἳ μεθ᾽ ἡμέραν, ὥς
160 φησιν, καὶ ἐν μέσῃ τῇ πόλει ἐφόνευον τοὺς συναντῶντας. μάλιστα 5
γὰρ ἐν ταῖς ἑορταῖς μιγνυμένους τῷ πλήθει καὶ ταῖς ἐσθήσεσιν ὑπο-
κρύπτοντας μικρὰ ξιφίδια, τούτοις νύττειν τοὺς διαφόρους· ἔπειτα
πεσόντων, μέρος γίνεσθαι τῶν ἐπαγανακτούντων αὐτοὺς τοὺς πε-
φονευκότας· διὸ καὶ παντάπασιν ὑπ᾽ ἀξιοπιστίας ἀνευρέτους γε-
νέσθαι. πρῶτον μὲν οὖν ὑπ᾽ αὐτῶν Ἰωνάθην τὸν ἀρχιερέα κατα- 6
σφαγῆναι, μετὰ δ᾽ αὐτὸν καθ᾽ ἡμέραν ἀναιρεῖσθαι πολλούς, καὶ τῶν
συμφορῶν τὸν φόβον εἶναι χαλεπώτερον, ἑκάστου καθάπερ ἐν πο-
λέμῳ καθ᾽ ὥραν τὸν θάνατον προσδεχομένου.
Ἑξῆς δὲ τούτοις ἐπιφέρει μεθ᾽ ἕτερα λέγων ΚΑ 21 1

›μείζονι δὲ τούτων πληγῇ Ἰουδαίους ἐκάκωσεν ὁ Αἰγύπτιος
›ψευδοπροφήτης. παραγενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης
›καὶ προφήτου πίστιν ἐπιθεὶς ἑαυτῷ, περὶ τρισμυρίους μὲν ἀθροίζει
›τῶν ἠπατημένων, περιαγαγὼν δ᾽ αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ
›Ἐλαιῶν καλούμενον ὄρος, ἐκεῖθεν οἷός τε ἦν εἰς Ἱεροσόλυμα παρελ-
›θεῖν βιάζεσθαι καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ τοῦ
›δήμου τυραννικῶς χρώμενος τοῖς συνεισπεσοῦσιν δορυφόροις. φθάνει 2

**16—26** Ioseph. A. I. 20, 180. 181 — **28**—S. 160, 9 Ioseph. B. I. 2, 254—256
**11—21** Ioseph. B. I. 2, 261—263

ATERBDMΣΔ
**28** *ὑποφυῆναι* ABD *ἐπιφυῆναι* TERM beides Ios HSS
**16** *κρατήσασ* TERBDMΣ Ios *κρατῆσαι* A | **17** *τυραννικῶσ* AT$^{1}$DM *τυ-
ραννεῖν* R$^{c}$B *τυραννεῖ* T$^{c}$ER$^{1}$Σ *τυραννεῖ τυραννίδι τυραννεῖν* Ios HSS, Ios scheint
geschrieben zu haben *βιάζεσθαι καὶ κρατῆσαι τῆς Ῥωμαικῆς φρουρᾶς καὶ τοῦ δήμου
τυραννικῶς, χρώμενος τοῖς συνεισπεσοῦσιν δορυφόροις,* vgl. B. I. 2, 275. 434. 564

160 ›δ' αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ, ὑπαντιάσας μετὰ τῶν Ῥωμαϊκῶν ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πλείστους τῶν σὺν αὐτῷ‹.

ταῦτα ἐν τῇ δευτέρᾳ τῶν Ἱστοριῶν ὁ Ἰώσηπος· ἐπιστῆσαι δὲ 3
ἄξιον τοῖς ἐνταῦθα κατὰ τὸν Αἰγύπτιον δεδηλωμένοις καὶ τοῖς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, ἔνθα κατὰ Φήλικα πρὸς τοῦ ἐν Ἱεροσολύμοις χιλιάρχου εἴρηται τῷ Παύλῳ, ὁπηνίκα κατεστασίαζεν αὐτοῦ τὸ τῶν Ἰουδαίων πλῆθος· ›οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν ἐν
162 ›τῇ ἐρήμῳ τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;‹
ἀλλὰ τὰ μὲν κατὰ Φήλικα τοιαῦτα·

τούτου δὲ Φῆστος ὑπὸ Νέρωνος διάδοχος πέμπεται, καθ' ὃν ΚΒ 22 1
δικαιολογησάμενος ὁ Παῦλος δέσμιος ἐπὶ Ῥώμης ἄγεται· Ἀρίσταρχος αὐτῷ συνῆν, ὃν καὶ εἰκότως συναιχμάλωτόν που τῶν ἐπιστολῶν ἀποκαλεῖ. καὶ Λουκᾶς, ὁ καὶ τὰς πράξεις τῶν ἀποστόλων γραφῇ παραδούς, ἐν τούτοις κατέλυσε τὴν ἱστορίαν, διετίαν ὅλην ἐπὶ τῆς Ῥώμης τὸν Παῦλον ἄνετον διατρῖψαι καὶ τὸν τοῦ θεοῦ λόγον ἀκωλύτως κηρῦξαι ἐπισημηνάμενος. τότε μὲν οὖν ἀπολογησάμενον, 2
αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι τὸν ἀπόστολον, δεύτερον δ' ἐπιβάντα τῇ αὐτῇ πόλει τῷ κατ' αὐτὸν τελειωθῆναι μαρτυρίῳ· ἐν ᾧ δεσμοῖς ἐχόμενος, τὴν πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν συντάττει, ὁμοῦ σημαίνων τήν τε προτέραν αὐτῷ γενομένην ἀπολογίαν καὶ τὴν παρὰ πόδας τελείωσιν. δέχου δὴ 3
καὶ τούτων τὰς αὐτοῦ μαρτυρίας· ›ἐν τῇ πρώτῃ μου‹, φησίν, ›ἀπολογίᾳ οὐδείς μοι παρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον (μὴ αὐτοῖς λογισθείη), ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος‹. σαφῶς δὴ παρίστησιν διὰ τούτων ὅτι δὴ τὸ πρότερον, ὡς 4
ἂν τὸ κήρυγμα τὸ δι' αὐτοῦ πληρωθείη, ἐρρύσθη ἐκ στόματος λέον-

**26**—S. 162, 1 Act. 21, 38

**3/4** Act. 25, 8—12. 27, 1 — **3**—S. 164, 4 Georg. Synk. 634, 13—635, 21 — **5/6** Kol. 4, 10 — **7—9** Act. 28, 30. 31 — **15—20** II Tim. 4, 16. 17

ATERBDMΣΛ

**24** *κατὰ* $T^1$BΣΛ *τὰ κατὰ* A$T^c T^r$ERDM | *προσ* ATER *ὑπὸ* BDM

**5** *αὐτῶ* $T^1$BDM Synk *δὲ αὐτῶ* A *δ' αὐτῶ* $T^c$ER *aber* Σ | **6** *ὁ καὶ* TERBDM *δὲ ὁ* A *sed et Lucas qui et* ... Λ *ὁ* Σ | **20** *δὴ*$^1$ AB *δὲ* TERDMΣ Synk | *ὡσ* BDM Synk *ὅπωσ* ATER

162 τος, τὸν Νέρωνα ταύτῃ, ὡς ἔοικεν, διὰ τὸ ὠμόθυμον προσειπών.
οὔκουν ἑξῆς προστέθεικεν παραπλήσιόν τι τῷ »ῥύσεταί με ἐκ στό-
ματος λέοντος«· ἑώρα γὰρ τῷ πνεύματι τὴν ὅσον οὔπω μέλλουσαν
αὐτοῦ τελευτήν, δι' ὅ φησιν ἐπιλέγων τῷ »καὶ ἐρρύσθην ἐκ στό- 5
»ματος λέοντος« τὸ »ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου
164 »πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουρά-
»νιον«, σημαίνων τὸ παραυτίκα μαρτύριον· ὃ καὶ σαφέστερον ἐν τῇ
αὐτῇ προλέγει γραφῇ, φάσκων »ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ
»καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν«. νῦν μὲν οὖν ἐπὶ 6
τῆς δευτέρας ἐπιστολῆς τῶν πρὸς Τιμόθεον τὸν Λουκᾶν μόνον
γράφοντι αὐτῷ συνεῖναι δηλοῖ, κατὰ δὲ τὴν προτέραν ἀπολογίαν
οὐδὲ τοῦτον· ὅθεν εἰκότως τὰς τῶν ἀποστόλων Πράξεις ἐπ' ἐκεῖνον
ὁ Λουκᾶς περιέγραψε τὸν χρόνον, τὴν μέχρις ὅτε τῷ Παύλῳ συνῆν
ἱστορίαν ὑφηγησάμενος. ταῦτα δ' ἡμῖν εἴρηται παρισταμένοις ὅτι 7
μὴ καθ' ἣν ὁ Λουκᾶς ἀνέγραψεν ἐπὶ τῆς Ῥώμης ἐπιδημίαν τοῦ
Παύλου τὸ μαρτύριον αὐτῷ συνεπεράνθη· εἰκός γέ τοι κατὰ μὲν 8
ἀρχὰς ἠπιώτερον τοῦ Νέρωνος διακειμένου, ῥᾷον τὴν ὑπὲρ τοῦ
δόγματος τοῦ Παύλου καταδεχθῆναι ἀπολογίαν, προελθόντος δ' εἰς
ἀθεμίτους τόλμας, μετὰ τῶν ἄλλων καὶ τὰ κατὰ τῶν ἀποστόλων
ἐγχειρηθῆναι.
Ἰουδαῖοί γε μὴν τοῦ Παύλου Καίσαρα ἐπικαλεσαμένου ἐπί τε ΚΓ 23 1
τὴν Ῥωμαίων πόλιν ὑπὸ Φήστου παραπεμφθέντος, τῆς ἐλπίδος
καθ' ἣν ἐξήρτυον αὐτῷ τὴν ἐπιβουλήν, ἀποπεσόντες, ἐπὶ Ἰάκωβον
τὸν τοῦ κυρίου τρέπονται ἀδελφόν, ᾧ πρὸς τῶν ἀποστόλων ὁ τῆς
ἐπισκοπῆς τῆς ἐν Ἱεροσολύμοις ἐγκεχείριστο θρόνος. τοιαῦτα δὲ
αὐτοῖς καὶ τὰ κατὰ τούτου τολμᾶται. εἰς μέσον αὐτὸν ἀγαγόντες 2
ἄρνησιν τῆς εἰς τὸν Χριστὸν πίστεως ἐπὶ παντὸς ἐξήτουν τοῦ
λαοῦ· τοῦ δὲ παρὰ τὴν ἁπάντων γνώμην ἐλευθέρᾳ φωνῇ καὶ μᾶλλον
ἢ προσεδόκησαν ἐπὶ τῆς πληθύος ἁπάσης παρρησιασαμένου καὶ ὁμο-
λογήσαντος υἱὸν εἶναι θεοῦ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν,

**25**—S. 164, 2 II Tim. 4, 18

**3/4** II Tim. 4, 6 — **4—7** II Tim. 4, 11. 16 — **16/17** Act. 25, 11. 12. 27, 1 — **17/18** Act. 23, 13—15. 25, 3

ATERBDMΣΔ

**23** *οὔκουν* $T^c$E *οὐκ οὖν* ARBDM *οὐκοῦν* $T^1T^r$Δ

**5** *τῶν* A$T^1$B *τῆσ* $T^c$ERDM | **15** *ἐγχειρηθῆναι* $T^1$EM *ἐγχειρισθῆναι* $T^r$RBD *ἐπιχειρῆσαι* A | **18** *ἀποπεσόντες* A$T^1$R *ἐκπεσόντεσ* $T^c$ (die Correctur getilgt), EBDM | **21** *τολμᾶται* BDM *τολμήματα* A *τετόλμηται* TER *hoc modo adorti sunt* Δ | **22** *ἐξήτουν* TERBDMΔ *ἐζήτουν* A | **25** *ι̅ν̅* TERBDM *ι̅ν̅ τὸν χ̅ν̅* AΣΔ

164 μηκέθ' οἷοί τε τὴν τοῦ ἀνδρὸς μαρτυρίαν φέρειν τῷ καὶ δικαιό-
τατον αὐτὸν παρὰ τοῖς πᾶσιν δι' ἀκρότητα ἧς μετῄει κατὰ τὸν βίον
φιλοσοφίας τε καὶ θεοσεβείας πιστεύεσθαι, κτείνουσι, καιρὸν εἰς
29 ἐξουσίαν λαβόντες τὴν ἀναρχίαν, ὅτι δὴ τοῦ Φήστου κατ' αὐτὸ τοῦ
166 καιροῦ ἐπὶ τῆς Ἰουδαίας τελευτήσαντος, ἄναρχα καὶ ἀνεπιτρόπευτα
τὰ τῆς αὐτόθι διοικήσεως καθειστήκει. τὸν δὲ τῆς τοῦ Ἰακώβου 3
τελευτῆς τρόπον ἤδη μὲν πρότερον αἱ παρατεθεῖσαι τοῦ Κλήμεντος
φωναὶ δεδηλώκασιν, ἀπὸ τοῦ πτερυγίου βεβλῆσθαι ξύλῳ τε τὴν
πρὸς θάνατον πεπλῆχθαι αὐτὸν ἱστορηκότος· ἀκριβέστατά γε μὴν
τὰ κατ' αὐτὸν ὁ Ἡγήσιππος, ἐπὶ τῆς πρώτης τῶν ἀποστόλων γενό-
μενος διαδοχῆς, ἐν τῷ πέμπτῳ αὐτοῦ ὑπομνήματι τοῦτον λέγων
ἱστορεῖ τὸν τρόπον

»διαδέχεται τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ ἀδελφὸς 4
»τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων δίκαιος ἀπὸ τῶν
»τοῦ κυρίου χρόνων μέχρι καὶ ἡμῶν, ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο,
»οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν, οἶνον καὶ σίκερα οὐκ 5
»ἔπιεν οὐδὲ ἔμψυχον ἔφαγεν, ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ
»ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο, καὶ βαλανείῳ οὐκ ἐχρήσατο. τούτῳ 6
»μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι· οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σιν-
»δόνας. καὶ μόνος εἰσήρχετο εἰς τὸν ναὸν ηὑρίσκετό τε κείμενος
»ἐπὶ τοῖς γόνασιν καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκλη-
»κέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν ἐπὶ
»γόνυ προσκυνοῦντα τῷ θεῷ καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. διά γέ 7
»τοι τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ ἐκαλεῖτο ὁ δίκαιος καὶ

**3/4** 104, 11—16 — **6** Zahn, Forschungen 6, 229 ff. — **9**—S. 170, 24 Georg. Synk. 638, 3—641, 2 — **12/13** Lev. 10, 9 Num. 6, 3 Luc. 1, 15 — **13/14** Num. 6, 5

ATERBDMΣΛ

**6** *ὁ Ἡγήσιππος* > Σ | **9** *τὴν* TERBDM Synk ΣΛ *δὲ τὴν* A | *μετὰ τῶν ἀποστόλων ΠΛ von den Aposteln* Σ *post apostolos* Hieron. de uir ill 2 *μετὰ τὴν τῶν ἀποστόλων* Synk | **10/11** *ab ipsius domini temporibus perdurans usque ad nos Λ* | **11** *κυ* ATERBΣΛ *χυ* DM Synk | **14/15** *τούτωι—εἰσιέναι* Doublette von 16 *καὶ μόνος—ναόν*; die Begründung *οὐδὲ γάρ—σινδόνας* sinnlos | **15** *τὰ ἅγια Π* Synk *τὰ ἅγια τῶν ἁγίων* ΣΛ Hieron vgl. Epiphan. 29, 4 p. 119b. 78, 13 p. 1045d | **18/19** *διὰ τὸ—τῶι λαῶι* Doublette zu 16/17 *ηὑρίσκετο—ἄφεσιν* | **18/19** *ἐπὶ γόνυ προσκυνοῦντα τῶ θεῶ* BM Synk *ἐπὶ τὰ γόνατα προσκυνοῦντα τῶ θεῶ* D *προσκυνοῦντα τῶ θεῶ τὰ γόνατα* ATER vgl. Epiphan. 78, 14 p. 1046b | **20** *τῆσ δικαιοσύνης* passt nicht in den Zusammenhang | *ὁ δίκαιος* T¹BDM *δίκαιοσ* A, T durch Rasur corr., ER Synk Λ

168 ›ὠβλίας, ὅ ἐστιν Ἑλληνιστὶ περιοχὴ τοῦ λαοῦ, καὶ δικαιοσύνη, ὡς
›οἱ προφῆται δηλοῦσιν περὶ αὐτοῦ. τινὲς οὖν τῶν ἑπτὰ αἱρέσεων 8
›τῶν ἐν τῷ λαῷ, τῶν προγεγραμμένων μοι‹ (ἐν τοῖς Ὑπομνήμασιν),
›ἐπυνθάνοντο αὐτοῦ τίς ἡ θύρα τοῦ Ἰησοῦ, καὶ ἔλεγεν τοῦτον εἶναι
›τὸν σωτῆρα· ἐξ ὧν τινες ἐπίστευσαν ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός. 9
›αἱ δὲ αἱρέσεις αἱ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν οὔτε
›ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὅσοι δὲ καὶ
›ἐπίστευσαν, διὰ Ἰάκωβον. πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόν- 10
›των, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ γραμματέων καὶ Φαρισαίων
›λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδο-
›κᾶν. ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ· »παρακαλοῦμέν σε,
›ἐπίσχες τὸν λαόν, ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ
›Χριστοῦ. παρακαλοῦμέν σε πεῖσαι πάντας τοὺς ἐλθόντας εἰς τὴν
›ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ· σοὶ γὰρ πάντες πειθόμεθα. ἡμεῖς
›γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαὸς ὅτι δίκαιος εἶ καὶ ὅτι πρόσω-
›πον οὐ λαμβάνεις. πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλα- 11
›νᾶσθαι· καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες πειθόμεθά σοι. στῆθι οὖν
›ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ἦς ἐπιφανὴς καὶ ᾖ εὐά-
›κουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. διὰ γὰρ τὸ πάσχα συνελη-
›λύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν«. ἔστησαν οὖν οἱ προ- 12
›ειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον
›τοῦ ναοῦ, καὶ ἔκραξαν αὐτῷ καὶ εἶπαν »δίκαιε, ᾧ πάντες πείθε-
›σθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρω-
›θέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ«. καὶ ἀπεκρίνατο 13
›φωνῇ μεγάλῃ »τί με ἐπερωτᾶτε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ
170 ›αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως,
›καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ«; καὶ πολλῶν 14
›πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου
›καὶ λεγόντων »ὡσαννὰ τῷ υἱῷ Δαυίδ«, τότε πάλιν οἱ αὐτοὶ γραμ-

**1/2** Ies. 3, 10 ? — **3** Hegesipp bei Eus. 4, 22, 7 — **4/5** vgl. Ioh. 10, 9 — **15/16** Luc. 20, 21 — **25**—S. 170, 2 Matth. 26, 64 Marc. 14, 62

ATERBDMΣΔ

**1** *περιοχὴ* TERBDM Synk ΣΔ *περιέχει* A | **1/2** *καὶ δικαιοσύνη—περὶ αὐτοῦ* unverständlich | **5** *ἐξ ὧν* unmöglicher Anschluss, *τινὲς* widerspricht S *πολλῶν—ἀρχόντων* | **6/7** dies war nicht die Meinung aller sieben von Heg genannten Secten | **6** *dass er auferstanden ist von den Todten* Σ *surrexisse eum* Δ beide durch Conjectur | **11—17** durch mehrere Dittographien stark erweitert | **22** *ᾧ* ARBD Synk Δ *σοὶ* TEM | **25** *περὶ* B Synk ΣΔ *περὶ ι̅υ̅* ATER *περὶ τοῦ ι̅υ̅* DM

170 ›ματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον »κακῶς ἐποιήσαμεν
›τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ· ἀλλὰ ἀναβάντες καταβά-
›λωμεν αὐτόν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ«. καὶ ἔκραξαν 15
›λέγοντες »ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη«, καὶ ἐπλήρωσαν τὴν γρα-
›φὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμμένην ›ἄρωμεν τὸν δίκαιον, ὅτι
›δύσχρηστος ἡμῖν ἐστιν· τοίνυν τὰ γενήματα τῶν ἔργων
›αὐτῶν φάγονται‹. ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον. καὶ 16
›ἔλεγον ἀλλήλοις »λιθάσωμεν Ἰάκωβον τὸν δίκαιον«, καὶ ἤρξαντο
›λιθάζειν αὐτόν, ἐπεὶ καταβληθεὶς οὐκ ἀπέθανεν· ἀλλὰ στραφεὶς
›ἔθηκε τὰ γόνατα λέγων »παρακαλῶ, κύριε θεὲ πάτερ, ἄφες αὐτοῖς·
›οὐ γὰρ οἴδασιν τί ποιοῦσιν«. οὕτως δὲ καταλιθοβολούντων αὐτόν, 17
›εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ υἱοῦ Ῥαχαβείμ, τῶν μαρτυρουμένων
›ὑπὸ Ἱερεμίου τοῦ προφήτου, ἔκραζεν λέγων »παύσασθε· τί ποιεῖτε;
›εὔχεται ὑπὲρ ὑμῶν ὁ δίκαιος«. καὶ λαβών τις ἀπ᾽ αὐτῶν, εἷς τῶν 18
›γναφέων, τὸ ξύλον, ἐν ᾧ ἀποπιέζει τὰ ἱμάτια, ἤνεγκεν κατὰ τῆς
›κεφαλῆς τοῦ δικαίου, καὶ οὕτως ἐμαρτύρησεν. καὶ ἔθαψαν αὐτὸν
›ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἔτι αὐτοῦ ἡ στήλη μένει παρὰ
›τῷ ναῷ. μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησιν γεγένηται
›ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν. καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ
›αὐτούς‹.

172 ταῦτα διὰ πλάτους, συνῳδά γέ ⟨τοι⟩ τῷ Κλήμεντι καὶ ὁ Ἡγήσιπ- 19
πος. οὕτω δὲ ἄρα θαυμάσιός τις ἦν καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν

**9—11** Ies. 3, 10 — **15** Luc. 23, 34 — **17** Ier. 42

ATERBDMΣΛ

**7—11** den Zusammenhang unterbrechende Doublette zu 2—7 | **11/12** *καὶ ἔλεγον* unvermittelter Fortgang der Erzählung, 11—18 *καὶ — ὁ δίκαιος* alte Interpolation nach Ios. A. I. 20, 200 | **13** *ἐπεὶ* AT$^1$BDMΣΛ *ἐν ἧι* Synk *ἐπεὶ δὲ* T$^c$ER | **16** *ῥαχαβεὶμ* AT$^1$RB *ῥηχαβεὶμ* T$^c$ED *ῥηχαβεῖν* M *Rachabin* Λ *ῥαχαεὶμ* Synk, *υἱῶν Ῥηχάβ* altes Glossem zu *Ῥαχαβείμ*, das durch *υἱοῦ* verkehrt mit dem Text verbunden ist | **17** *ἔκραζεν* M *ἔκραζε* RBD *ἔκραξεν* AT *ἔκραξε* E Synk | **19** *ἀποπιέζει* BDM Synk *exprimere solent* Λ *exprimi solent* Hieron *ἀπεπίεζε* TE *ἀπεπίαζε* R *ἀποπίεζε* A | **20/21** *καὶ οὕτως ἐμαρτύρησεν — ἡ στήλη μένει* und 22—24 *μάρτυς οὗτος — πολιορκεῖ αὐτούς* zwei Schlüsse der Erzählung, die neben einander nicht stehen können | **21/22** *καὶ ἔτι — ναῶι* > Λ | *παρὰ τῶι ναῶι* Dittographie

**1/2** *διὰ πλάτους Κλήμης, συνωιδὰ δὲ τούτοις* übersetzt Σ und fasst *οὕτω δὲ κτλ.* als Excerpt aus Hegesipp vgl. zu 166, 6, *haec latius quidem, sed consonanter Clementi etiam Hegesippus rettulit quod ita mirus quidem* Λ | **1** *γέ τοι τῶι* Schw *γε τῶ* TER *τε τῶ* D *δὲ τῶ* M *τῶ γε* B *τῶ* A

172 ἐπὶ δικαιοσύνῃ βεβόητο ὁ Ἰάκωβος, ὡς καὶ τοὺς Ἰουδαίων ἔμφρονας
δοξάζειν ταύτην εἶναι τὴν αἰτίαν τῆς παραχρῆμα μετὰ τὸ μαρτύριον
αὐτοῦ πολιορκίας τῆς Ἱερουσαλήμ, ἣν δι' οὐδὲν ἕτερον αὐτοῖς συμ-
βῆναι ἢ διὰ τὸ κατ' αὐτοῦ τολμηθὲν ἄγος. ἀμέλει γέ τοι ὁ Ἰώ- 20
σηπος οὐκ ἀπώκνησεν καὶ τοῦτ' ἐγγράφως ἐπιμαρτύρασθαι δι' ὧν
φησιν λέξεων

»ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ
»δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, ἐπειδήπερ
»δικαιότατον αὐτὸν ὄντα οἱ Ἰουδαῖοι ἀπέκτειναν«.

ὁ δ' αὐτὸς καὶ τὸν θάνατον αὐτοῦ ἐν εἰκοστῷ τῆς Ἀρχαιολογίας 21
δηλοῖ διὰ τούτων·

»πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου
»τὴν τελευτὴν πυθόμενος. ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερω-
»σύνην εἴπαμεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς
»διαφερόντως, αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ
»τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώ-
»καμεν. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν 22
»ἐπιτήδειον διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δ' ἔτι κατὰ τὴν
»ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν, καὶ παραγαγὼν εἰς αὐτὸ
»τὸν ἀδελφὸν Ἰησοῦ, τοῦ Χριστοῦ λεγομένου, Ἰάκωβος ὄνομα αὐτῷ,
»καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος,
174 »παρέδωκεν λευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν 23
»κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως
»ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα, παρα-
»καλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν·
»μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δ' αὐτῶν καὶ
»τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα,
»καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς αὐτοῦ γνώμης κα-
»θίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις, γράφει μετ' 24

**9—11** fehlt in dem überlieferten Text des Iosephus — **9—11. 15**—S. 174, 11 Georg. Synk 641, 7—642, 9 — **14**—S. 174, 11 Ioseph. A. I. 20, 197. 199—203 — **15/16** A. I. 20, 197 — **18/19** B. I. 2, 166

ATERBDMΣΛ

**6** *ἀμέλει γέ τοι ὁ* TERDM *ἀμέλει γέ τοι καὶ ὁ* A *ὁ γ' οὖν* B *aber auch* Σ *et Iosephus* Λ | **17** *τὴν* ATER Synk Ios *τῶν* BDM

**7** *αὐτοῦ* TEBDM *τῆσ αὐτοῦ* AR Synk *τῆσ ἐκείνου* Ios

174 ›ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ᾽ αὐτοῦ δίκας ἀπειλῶν, καὶ ὁ βασι-
›λεὺς Ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτοῦ
›ἄρξαντος μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμμαίου κατέστησεν‹.

τοιαῦτα καὶ τὰ κατὰ Ἰάκωβον, οὗ ἡ πρώτη τῶν ὀνομαζομένων
καθολικῶν ἐπιστολῶν εἶναι λέγεται· ἰστέον δὲ ὡς νοθεύεται μέν, οὐ 25
πολλοὶ γοῦν τῶν παλαιῶν αὐτῆς ἐμνημόνευσαν, ὡς οὐδὲ τῆς λεγο-
μένης Ἰούδα, μιᾶς καὶ αὐτῆς οὔσης τῶν ἑπτὰ λεγομένων καθολικῶν·
ὅμως δ᾽ ἴσμεν καὶ ταύτας μετὰ τῶν λοιπῶν ἐν πλείσταις δεδη-
μοσιευμένας ἐκκλησίαις.

Νέρωνος δὲ ὄγδοον ἄγοντος τῆς βασιλείας ἔτος, πρῶτος μετὰ ΚΔ 24
Μάρκον τὸν εὐαγγελιστὴν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας Ἀννιανὸς
τὴν λειτουργίαν διαδέχεται.

Κραταιουμένης δ᾽ ἤδη τῷ Νέρωνι τῆς ἀρχῆς, εἰς ἀνοσίους ὀκεί- ΚΕ 25 1
λας ἐπιτηδεύσεις, κατ᾽ αὐτῆς ὡπλίζετο τῆς εἰς τὸν τῶν ὅλων θεὸν
εὐσεβείας. γράφειν μὲν οὖν οἷός τις οὗτος γεγένηται τὴν μοχθη-
ρίαν, οὐ τῆς παρούσης γένοιτ᾽ ἂν σχολῆς· πολλῶν γε μὴν τὰ κατ᾽ 2
αὐτὸν ἀκριβεστάταις παραδεδωκότων διηγήσεσιν, πάρεστιν ὅτῳ φί-
176 λον, ἐξ αὐτῶν τὴν σκαιότητα τῆς τἀνδρὸς ἐκτόπου καταθεωρῆσαι
μανίας, καθ᾽ ἣν οὐ μετὰ λογισμοῦ μυρίων ὅσων ἀπωλείας διεξελθών,
ἐπὶ τοσαύτην ἤλασε μιαιφονίαν, ὡς μηδὲ τῶν οἰκειοτάτων τε καὶ
φιλτάτων ἐπισχεῖν, μητέρα δὲ ὁμοίως καὶ ἀδελφοὺς καὶ γυναῖκα σὺν
καὶ ἄλλοις μυρίοις τῷ γένει προσήκουσιν τρόπον ἐχθρῶν καὶ πολε-
μίων ποικίλαις θανάτων ἰδέαις διαχρήσασθαι. ἐνέδει δ᾽ ἄρα τοῖς 3
πᾶσι καὶ τοῦτ᾽ ἐπιγραφῆναι αὐτῷ, ὡς ἂν πρῶτος αὐτοκρατόρων
τῆς εἰς τὸ θεῖον εὐσεβείας πολέμιος ἀναδειχθείη. τούτου πάλιν 4
ὁ Ῥωμαῖος Τερτυλλιανὸς ὧδέ πως λέγων μνημονεύει

›ἐντύχετε τοῖς ὑπομνήμασιν ὑμῶν, ἐκεῖ εὑρήσετε πρῶτον Νέ-
›ρωνα τοῦτο τὸ δόγμα, ἡνίκα μάλιστα ἐν Ῥώμῃ, τὴν ἀνατολὴν

**176, 10—15** Tertullian. Apologet. 5 — **10**—S. 178, 14 Georg. Synk. 644, 8—645, 9

ATERBDMΣΛ

**10/11** *αὐτοῦ ἄρξαντοσ* ATERM *αὐτὸν ἄρξαντα* D Synk Ios *αὐτῷ ἄρξαντα* B | **20** nach *διαδέχεται* + *ἀνὴρ θεοφιλὴσ ὢν καὶ τὰ πάντα θαυμάσιος* BD | **21/22** *//κείλασ* $T^{1}$ (nur ein Buchstabe getilgt) *ὠκείλασ* B *ἐξοκείλασ* $AT^{r}ER$ *ἐξωκίλασ* DM

**1** *ἐκτόπου* ABDM *ἐκ τούτου* TER *τούτου* Σ | **4** *ἐπισχεῖν* $T^{1}BDM$ *ἀποσχέσθαι* $AT^{cm}ER$ | *γυναῖκα* $ATERBD\Sigma^{arm}$ *γυναῖκασ* MΣΛ

176 ›πᾶσαν ὑποτάξας, ὠμὸς ἦν εἰς πάντας, διώξαντα. τοιούτῳ τῆς ›κολάσεως ἡμῶν ἀρχηγῷ καυχώμεθα. ὁ γὰρ εἰδὼς ἐκεῖνον νοῆσαι ›δύναται ὡς οὐκ ἄν, εἰ μὴ μέγα τι ἀγαθὸν ἦν, ὑπὸ Νέρωνος κατα- ›κριθῆναι‹.

ταύτῃ γοῦν οὗτος, θεομάχος ἐν τοῖς μάλιστα πρῶτος ἀνακη- 5
ρυχθείς, ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπ' αὐτῆς Ῥώμης τὴν κεφαλὴν ἀποτμηθῆναι καὶ Πέτρος ὡσαύτως ἀνασκολοπισθῆναι κατ' αὐτὸν ἱστοροῦνται, καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Πέτρου καὶ Παύλου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόσρησις, οὐδὲν δὲ ἧττον καὶ ἐκκλησι- 6
αστικὸς ἀνήρ, Γάϊος ὄνομα, κατὰ Ζεφυρῖνον Ῥωμαίων γεγονὼς ἐπίσκοπον· ὃς δὴ Πρόκλῳ τῆς κατὰ Φρύγας προϊσταμένῳ γνώμης ἐγγράφως διαλεχθείς, αὐτὰ δὴ ταῦτα περὶ τῶν τόπων, ἔνθα
178 τῶν εἰρημένων ἀποστόλων τὰ ἱερὰ σκηνώματα κατατέθειται, φησίν

›ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω δεῖξαι. ἐὰν γὰρ 7
›θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βασικανὸν ἢ ἐπὶ τὴν ὁδὸν τὴν ›Ὠστίαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκ- ›κλησίαν‹.

ὡς δὲ κατὰ τὸν αὐτὸν ἄμφω καιρὸν ἐμαρτύρησαν, Κοριν- 8
θίων ἐπίσκοπος Διονύσιος ἐγγράφως Ῥωμαίοις ὁμιλῶν, ὧδε παρίστησιν

›ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου ›καὶ Παύλου φυτείαν γενηθεῖσαν Ῥωμαίων τε καὶ Κορινθίων συνε- ›κεράσατε. καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύ- ›σαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν, ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε ›διδάξαντες ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν‹.

ATERBDMΣΔ

**14** ὡς > B Synk | **14/15** nach κατακριθῆναι + εἶχε Tr | **21** nach πρόσρησις + ταῦτα μὲν οὗτοσ AmTcmE ταῦτα μὲν οὕτωσ R | **22** ὄνομα BDM ὀνόματι ATER | **23** ἐπίσκοπον ATcERB¹ΣΔ ἐπίσκοποσ T¹BrDM Synk

**4** βασικανὸν A, T corr., BD βασικάνον T¹M βασικανον E βασίκανον Synk ביסיקנוס Σ βατικανὸν R (ex silentio) Δ, voreusebianischer Fehler | **8** ὧδε RBDM ὧδέ πωσ ATE | **12** ἄμφω ATcER Synk ΣΔ ἀμφοῖν T¹BDM | **12/13** φυτεύσαντεσ ΠΣ φοιτήσαντεσ Synk Δ | **13** ὁμοίωσ ἐδίδαξαν interpolirt; für die Verbindung ἐμαρτύρησαν εἰς vgl. Act. 23, 11 | nach Ἰταλίαν + ὄντεσ M

178 *καὶ ταῦτα δέ, ὡς ἂν ἔτι μᾶλλον πιστωθείη τὰ τῆς ἱστορίας.* Κς 26 1
*Αὖθις δ' ὁ Ἰώσηπος πλεῖστα ὅσα περὶ τῆς τὸ πᾶν Ἰουδαίων*
*ἔθνος καταλαβούσης διελθὼν συμφορᾶς, δηλοῖ κατὰ λέξιν ἐπὶ πλεί-*
*στοις ἄλλοις μυρίους ὅσους τῶν παρὰ Ἰουδαίοις τετιμημένων μάστιξιν*
*αἰκισθέντας ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ἀνασταυρωθῆναι ὑπὸ Φλώρου·*
*τοῦτον δὲ εἶναι τῆς Ἰουδαίας ἐπίτροπον, ὁπηνίκα τὴν ἀρχὴν ἀναρ-*
*ριπισθῆναι τοῦ πολέμου, ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας,*
180 *συνέβη.* *εἶτα δὲ καὶ καθ' ὅλην τὴν Συρίαν ἐπὶ τῇ τῶν Ἰουδαίων* 2
*ἀποστάσει δεινήν φησι κατειληφέναι ταραχήν, πανταχόσε τῶν ἀπὸ*
*τοῦ ἔθνους πρὸς τῶν κατὰ πόλιν ἐνοίκων ὡς ἂν πολεμίων ἀνηλεῶς*
*πορθουμένων, ὥστε ὁρᾶν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων καὶ*
*νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους γύναιά τε μηδὲ τῆς ἐπ'*
*αἰδῷ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν*
*ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν*
*ἐπὶ τοῖς ἀπειλουμένοις ἀνάτασιν.* *ταῦτα κατὰ λέξιν ὁ Ἰώση-*
*πος.* *καὶ τὰ μὲν κατὰ Ἰουδαίους ἐν τούτοις ἦν.*

**16—19** Ioseph. B. I. 2, 306—308 — **20/21** Ioseph. B. I. 2, 284 A. I. 20, 257

**1—8** Ioseph. B. I. 2, 462. 465

ATERBDMΣΛ

**3** *ὡσ ἂν* $AT^1B$ *τρόπω* $T^cERM$ *ἐν τρόπω* D | *πολεμίωσ* $T^1$ corr. $T^cT^r$ *wie im Krieg* Σ | **8** *ἀνάτασιν* ABDΣΛ *ἀνάστασιν* $T^1ERM$ *ἀναστάτωσιν* $T^r$ *ἀνάστασιν* und *μετάστασιν* Ios HSS